UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

17. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

τὸν καὶ τεθνηῶτα προϲηύδα φαίδιμοϲ Ἕκτωρ·
Πατρόκλειϲ, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίϲ δ᾽ οἶδ᾽ εἴ κ᾽ Ἀχιλεύϲ, Θέτιδοϲ πάιϲ ἠυκόμοιο,
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶϲ ἀπὸ θυμὸν ὀλέϲϲαι;
ὣϲ ἄρα φωνήϲαϲ δόρυ χάλκεον ἐξ ὠτειλῆϲ
εἴρυϲε, λὰξ προϲβάϲ, τὸν δ᾽ ὕπτιον ὦϲ᾽ ἀπὸ δουρόϲ.
αὐτίκα δὲ ξὺν δουρὶ μετ᾽ Αὐτομέδοντα βεβήκει,
ἀντίθεον θεράποντα ποδώκεοϲ Αἰακίδαο·
ἵετο γὰρ βαλέειν· τὸν δ᾽ ἔκφερον ὠκέεϲ ἵπποι
ἄμβροτοι, οὓϲ Πηλῆι θεοὶ δόϲαν ἀγλαὰ δῶρα.

---

# ΙΛΙΑΔΟϹ Ρ.

Οὐδ᾽ ἔλαθ᾽ Ἀτρέοϲ υἱὸν ἀρηίφιλον Μενέλαον
Πάτροκλοϲ Τρώεϲϲι δαμεὶϲ ἐν δηιοτῆτι.
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ,
ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῷ βαῖν᾽ ὥϲ τιϲ περὶ πόρτακι μήτηρ
πρωτοτόκοϲ κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο·
ὣϲ περὶ Πατρόκλῳ βαῖνε ξανθὸϲ Μενέλαοϲ.
πρόϲθε δέ οἱ δόρυ τ᾽ ἔϲχε καὶ ἀϲπίδα πάντοϲ᾽ ἐίϲην,

---

V. L. 858 τεθνειῶτα ACDEGHS Syr. et Heynii libri: τεθνηῶτα L Mor. προϲηῦδα D. — 859 τί νυ μοι AGL: τί νῦν μοι D. — 860 ἀχιλλεὺϲ G. πάϊϲ CG. ΠΑΙϹ Syr. ceteri παῖϲ. — 861 φθῄη GH. φθείη S. φθαίη Cant. Harl. φθήη ἤγουν φθαίη Eust. ΦΘΉΗ Syr. ἐμῷ: ὑμῶν Schol. Χ 331. ἀπο CDGHL. — 862 ὡϲ A. — 863 προϲβὰϲ: προβὰϲ CGS Lips. προβιβὰϲ Vrat. A. ἀπο L. — 864 ἐπ᾽ ἢ μετ᾽ Eust. — 866 ἱέμενοϲ βάλλειν E. — 867 ἄβροτοι L Townl. ὃϲ πηλῆϊ G.

---

A. c. 864 ἐκ πλήρουϲ τὸ δαμεντ (sic) ἀρίϲταρχοϲ Didymus, conf. H. T. 398. — 858 διὰ τοῦ η τὸ τεθνηῶτα ἀρίϲταρχοϲ Didymus. — 867 τινὲϲ γράφουϲιν „ἤματι τῷ, ὅτ᾽ ἔγημε Θέτιν λιπαροκρήδεμνον" Schol. V.

---

V. L. 1 οὐδ᾽: οὐκ L. ἀτρέωϲ Harl. ἀρηΐφιλον A. — 2 τρώεϲϲι L. — 3 δια A. — 4 ἀμφι D. ἂρ ADEGHL Apoll. Soph. 27, 26. 133, 30. AP Ambr. βαῖνεν C. — 6 περι A. — 7 δόρατ᾽ G. δούρατ᾽ H. πάντοϲε ἴϲην DLS Townl. Lips. Vrat. A. πάντοϲε ἶϲην A. ΠΑΝΤΟϹΕ ΙϹΗΝ Ambr.

---

A. c. 7 οἱ: οὗ Zenodotus.

τὸν κτάμεναι μεμαώς, ὅς τις τοῦ γ᾽ ἀντίος ἔλθοι.
οὐδ᾽ ἄρα Πάνθου υἱὸς ἐυμμελίης ἀμέληςε
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ᾽ ἄρ᾽ αὐτοῦ
ἔστη, καὶ προσέειπεν ἀρηίφιλον Μενέλαον·
Ἀτρείδη Μενέλαε, διοτρεφές, ὄρχαμε λαῶν,
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ᾽ ἔναρα βροτόεντα.
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ᾽ ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.
τὸν δὲ μέγ᾽ ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
οὔτ᾽ οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πάνθου υἷες ἐυμμελίαι φρονέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ἧς ἥβης ἀπόνηθ᾽, ὅτε μ᾽ ὤνατο καί μ᾽ ὑπέμεινε,
καί μ᾽ ἔφατ᾽ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα

---

V. ι. 8 τοῦ γ᾽: τοῦτ᾽ S. ἔλθῃ Cant. Lips. Vrat. b. d. — 9 ἐϋμελίης EG Vrat. A. ἀμέλησε ACDGH Ambr. — 10 ἂρ AG. — 12 δϊοτροφὲς H. — 14 τρώων L. κλητῶν Harl. — 15 κατα AD. — 16 τῶ ACDHL. ΤΩΙ Ambr. τῷ G. μ᾽ ἔα H. ἐσθλὸν omitt. C. ἐνι AD. τρώεσσιν L. — 17 βαλὼν ἀπὸ μελιηδέα Lips. ἀπο CH. δὲ μελϊηδέα C. — 18 τόνδε GL. — 20 παρδάλιος CGHL Townl. Vrat. A. Flor. πορδάλιος A Ambr. DES Rom. Pseudoplut. 138, 3. — 21 συός, κάπρου τ᾽ Pseudoplut. l. l. ὀλοόφρονος C. οὔτε μάλιστα L Pseudoplut. l. l. — 22 ἐνι AD. στήθεσσϊν περῒ δὲ H. περι AD. μέγα pro περὶ Lips. — 23 ἐϋμελίαι G. ΕΥΜΕΛΙΑΙ Ambr. φρονέουσιν: φορέουσιν L. Frgm. Mosc. Townl. Ambr. (sine accentu). φρονέουσιν ἢ φορέουσιν Eust. γρ. φορέουσι Lips. — 25 ἀπόναθ᾽ C. ὅτ᾽ ἔμ᾽ Vrat. b. ὑπέμεινε A Ambr. CDEG. — 27 οὐδέ ἑ φημὶ ADEGHL. οὐδέ μέ C (corr. 2. man.). γ᾽ ἑοῖσι Vrat. A. — 28—159 absunt a cod. D, folia duo in quaque pagina 33 versus. — 29 ὧς δὴ S. ὧς θὴν G. ceteri ὥς θην cum Apoll. Soph. 88, 2.

---

A. c. 9 Πάνθου: Πανθόου Bekk. 2. conf. O 522. — 20 διὰ τοῦ α αἱ ἀριστάρχου παρδάλιος Didymus. — 27 διὰ τοῦ τε οὐδέ τε ἀρίσταρχος Didymus.

στήῃϲ. ἀλλά ϲ’ ἐγώ γ’ ἀναχωρήϲαντα κελεύω
ἐϲ πληθὺν ἰέναι, μὴ δ’ ἀντίοϲ ἵϲταϲ’ ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιοϲ ἔγνω.
ὣϲ φάτο, τὸν δ’ οὐ πεῖθεν· ἀμειβόμενοϲ δὲ προϲηύδα·
νῦν μὲν δὴ Μενέλαε διοτρεφὲϲ ἦ μάλα τίϲειϲ
γνωτὸν ἐμόν, τὸν ἔπεφνεϲ, ἐπευχόμενοϲ δ’ ἀγορεύειϲ,
χήρωϲαϲ δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦϲι γόον καὶ πένθοϲ ἔθηκαϲ.
ἦ κέ ϲφιν δειλοῖϲι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε’ ἐνείκαϲ
Πάνθῳ ἐν χείρεϲϲι βάλω καὶ Φρόντιδι δίῃ.
ἀλλ’ οὐ μὰν ἔτι δηρὸν ἀπείρητοϲ πόνοϲ ἔϲται
οὐδέ τ’ ἀδήριτοϲ, ἤ τ’ ἀλκῆϲ ἤ τε φόβοιο.
ὣϲ εἰπὼν οὔτηϲε κατ’ ἀϲπίδα πάντοϲ’ ἐίϲην·
οὐδ’ ἔρρηξεν χαλκόϲ, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀϲπίδι ἐν κρατερῇ. ὃ δὲ δεύτεροϲ ὤρνυτο χαλκῷ
Ἀτρείδηϲ Μενέλαοϲ ἐπευξάμενοϲ Διὶ πατρί,
ἂψ δ’ ἀναχαζομένοιο κατὰ ϲτομάχοιο θέμεθλα
νύξ’, ἐπὶ δ’ αὐτὸϲ ἔρειϲε βαρείῃ χειρὶ πιθήϲαϲ·
ἀντικρὺ δ’ ἁπαλοῖο δι’ αὐχένοϲ ἤλυθ’ ἀκωκή.
δούπηϲεν δὲ πεϲών, ἀράβηϲε δὲ τεύχε’ ἐπ’ αὐτῷ.

---

V. l. 30 ϲτήῃϲ ADGL Cram. Ep. 430, 27. ϲτήηϲ CEH. ϲτῆηϲ G. ἔγωγ’ ADEHL Cant. Mor. Harl. Vrat. a. b. d. frgm. Mosc. Lips. ἔγωγε C Vrat. A Flor. ἔγω G Rom. — 31 ἐϲ: εἰϲ E 1093, 19. ἰέμεναι H. μὴ δ’ ACGHL. μήδ’ E. — 34 δϊοτροφὲϲ H. ἦ τάχα L. — 37 ἀρητὸν ADE Rom. Apoll. Soph. 43, 26. Et. Mg. 140, 40. ἀῤῥητον seu ἄρρητον CGH LS Lips. Mor. Vrat. A. d. Flor. ὅτι δὲ τὸ ἀρητὸν πένθοϲ ἀῤῥητόν τινεϲ γράφουϲι δῆλον Eust. 1093, 60. — 38 ἦ καί C. — 39 τε omitt. H. Lips. — 40 πάνθῳ ἐνὶ Lips. mallem πανθόῳ ἐν. — 42 οὐδ’ ἔτ’ Vrat. A. ἠδ’ ἀλκῆϲ ἠδὲ CL Barocc. Harl. Townl. Vrat. b. A. frgm. Mosc. οὔτ’ ἀλκῆϲ οὔτε EGHS Flor. Rom. — 43 πάντοϲε, ἴϲην A. πάντοϲε ἴϲην L. πάντοϲ ἐΐϲην G. — 44 ἔῤῥηξε EG Vrat. A. Flor. Rom. χαλκὸϲ AL. χαλκόν[c] H. γράφεται οὐδ’ ἔῤῥηξε χαλκόϲ Eust. 1094, 14. ἀνεγνάμφη HL. — 45 ἀϲπίδι ἐν ACH frgm. Mosc. ἀϲπίδι ἐνὶ S Townl. Vrat. d. Flor. Rom. vulgo ἀϲπίδ’ ἐνὶ, conf. H. U. 127. ὄρνυτο Barocc. — 47 κατα A. — 49 ἀντικρὺ libri cum Apoll. Soph. 32, 6. Schol. Plat. Charmid. 153 A. Schol. P 47. δ’ ἀπ’[β] αὐχένοϲ ἁπαλοῖο[α] ἤλυθ’[γ] H. — 50 δούπηϲε G Lips. Flor.

---

A. c. 30—32 asterisci; οὐκ ὀρθῶϲ Υ 196—198. — 34 μάλα: ἔν τιϲι τῶν ὑπομνημάτων ἦ τάχα τίϲειϲ Schol. V. — 41 ἔτι: κατ’ ἔνια τῶν ὑπομνημάτων διὰ τοῦ π ἐπὶ δηρὸν Didymus. — 42 ἀρίϲταρχοϲ ἀμφότερα διὰ τοῦ δ ἠδ’ ἀλκῆϲ ἠδὲ φόβοιο Didymus. — 44 οὕτωϲ ἀρίϲταρχοϲ χαλκόϲ, ἄλλοι δὲ χαλκόν Didymus, conf. ad Γ 348.

αἵματί οἱ δεύοντο κόμαι χαρίτεϲϲιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυϲῷ τε καὶ ἀργύρῳ ἐϲφήκωντο.
οἷον δὲ τρέφει ἔρνοϲ ἀνὴρ ἐριθηλὲϲ ἐλαίηϲ
χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλιϲ ἀναβέβρυχεν ὕδωρ,
καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουϲι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
ἐλθὼν δ' ἐξαπίνηϲ ἄνεμοϲ ϲὺν λαίλαπι πολλῇ
βόθρου τ' ἐξέϲτρεψε καὶ ἐξετάνυϲϲ' ἐπὶ γαίῃ·
τοῖον Πάνθου υἱὸν ἐυμμελίην Εὔφορβον
Ἀτρείδηϲ Μενέλαοϲ ἐπεὶ κτάνε, τεύχε' ἐϲύλα.
ὡϲ δ' ὅτε τίϲ τε λέων ὀρεϲίτροφοϲ, ἀλκὶ πεποιθώϲ,
βοϲκομένηϲ ἀγέληϲ βοῦν ἁρπάϲῃ, ἥ τιϲ ἀρίϲτη·
τῆϲ δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖϲιν ὀδοῦϲι
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύϲϲει
δῃῶν· ἀμφὶ δὲ τόν γε κύνεϲ τ' ἄνδρέϲ τε νομῆεϲ
πολλὰ μάλ' ἰύζουϲιν ἀπόπροθεν, οὐδ' ἐθέλουϲιν
ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέοϲ αἱρεῖ·
ὣϲ τῶν οὔ τινι θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν ἐτόλμα
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
ἔνθά κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρείδηϲ, εἰ μή οἱ ἀγάϲϲατο Φοῖβοϲ Ἀπόλλων,
ὅϲ ῥά οἱ Ἕκτορ' ἐπῶρϲε θοῷ ἀτάλαντον Ἄρηι,
ἀνέρι εἰϲάμενοϲ, Κικόνων ἡγήτορι Μέντῃ·

---

V. l. 52 πλοχμὴ θ' L. ἐϲφήκοντο S Lips. Apoll. Soph. 78, 1. ἐϲφήκωνται C: ceteri ἐϲφήκωντο cum Schol. B 872. C 401. Et. Mg. 385, 5. Phot. Lex. 23. Suid. II, 1, 213, 7. Eust. 1393, 34. — 54 ἀναβέβρυκεν frgm. Mosc. γρ. καὶ ἀναβέβροχεν Eust. 1095, 7. — 55 τηλεθάον A. δονέουϲι CEG: ceteri δονέουϲιν. — 56 βρίει S. — 57 ἐλθών τ' Schol. Λ 256. δ' omitt. Cant. — 58 ἐξέϲτραψε L. γαίην Schol. Λ 256. γαίῃ ἢ ἐπὶ γαίηϲ E. — 59 ἐϋμελίην G. — 61 τε omitt. L Lips. frgm. Mosc. ὀρεϲίτροφοϲ A. ἀλκῇ (ï) C. — 62 ἁρπάϲει CE Lips. — 63 ἐξ omitt. G. ἐξαυχέν' H. ὀδοῦϲι ACG. — 64 πάντα omitt. H. λαφύϲϲῃ G. λαφύϲη S. — 65 δηΐων L Lips. δηϊῶν H. δηϊόων S. τόν γε: τόνδε C. τ' omitt. C. ἄνδρέϲ τε H. ἄνδρεϲ τὲ C. — 66 ἀπὸ πρόϲθεν H. οὐδὲ θέλουϲιν CES Lips. — 67 ἐλθέμεναι, ἐπεὶ χλωρὸν H. δριμὺϲ χόλοϲ ἢ μᾶλλον χλωρὸν δέοϲ Eust. 1095, 49. — 68 ὡϲ A. — 70 ἔνθά κε ACH. φέρεν Vrat. A. — 72 θοῷ: θεῷ Vrat. b.

---

A. c. 51 χαρίτεϲϲιν ὁμοῖαι: χαρίτεϲϲι μέλαιναι Zenodotus. — 54 ἀναβέβρυχεν: ἀναβέβροχεν Zenodotus.

καί μιν φωνήϲαϲ ἔπεα πτερόεντα προϲηύδα·
Ἕκτορ, νῦν ϲὺ μὲν ὧδε θέειϲ ἀκίχητα διώκων,
ἵππουϲ Αἰακίδαο δαΐφρονοϲ· οἳ δ᾽ ἀλεγεινοὶ
ἀνδράϲι γε θνητοῖϲι δαμήμεναι ἠδ᾽ ὀχέεϲθαι,
ἄλλῳ γ᾽ ἢ Ἀχιλῆι, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαοϲ ἀρήιοϲ, Ἀτρέοϲ υἱόϲ,
Πατρόκλῳ περιβὰϲ Τρώων τὸν ἄριϲτον ἔπεφνε,
Πανθοΐδην Εὔφορβον, ἔπαυϲε δὲ θούριδοϲ ἀλκῆϲ.
ὣϲ εἰπὼν ὃ μὲν αὖτιϲ ἔβη θεὸϲ ἂμ πόνον ἀνδρῶν.
Ἕκτορα δ᾽ αἰνὸν ἄχοϲ πύκαϲε φρέναϲ ἀμφιμελαίναϲ·
πάπτηνεν δ᾽ ἄρ᾽ ἔπειτα κατὰ ϲτίχαϲ, αὐτίκα δ᾽ ἔγνω
τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ᾽ ἐπὶ γαίῃ
κείμενον· ἔῤῥει δ᾽ αἷμα κατ᾽ οὐταμένην ὠτειλήν.
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ,
ὀξέα κεκληγώϲ, φλογὶ εἴκελοϲ Ἡφαίϲτοιο
ἀϲβέϲτῳ· οὐδ᾽ υἱὸν λάθεν Ἀτρέοϲ ὀξὺ βοήϲαϲ·
ὀχθήϲαϲ δ᾽ ἄρα εἶπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγών, εἰ μέν κε λίπω κάτα τεύχεα καλὰ
Πάτροκλόν θ᾽, ὃϲ κεῖται ἐμῆϲ ἕνεκ᾽ ἐνθάδε τιμῆϲ,
μή τίϲ μοι Δαναῶν νεμεϲήϲεται, ὅϲ κεν ἴδηται.
εἰ δέ κεν Ἕκτορι μοῦνοϲ ἐὼν καὶ Τρωϲὶ μάχωμαι
αἰδεϲθείϲ, μή πώϲ με περιϲτείωϲ᾽ ἕνα πολλοί·
Τρῶαϲ δ᾽ ἐνθάδε πάνταϲ ἄγει κορυθαίολοϲ Ἕκτωρ.
ἀλλὰ τί ἤ μοι ταῦτα φίλοϲ διελέξατο θυμόϲ;

---

V. L. 75 θέειϲ: νοέειϲ Apoll. Soph. 20, 6. — 76 οἵδ᾽ CGHL. — 77 δαμῆναι E. ἤδ᾽ H. — 80 τρῴων L. ἔπεφνε AH Schol. P 62. — 82 ὡϲ A. ὃ μὲν C. αὖθϊϲ C. ἀμπόνον ACGHL. ἀνπόνον S Cant. Mor. Lips. Flor. Rom. ἂν πόνον E. — 83 ἀμφὶ μελαίναϲ CG. ita quaedam antigrapha teste Eust. 1096, 34. — 84 πάπτηινεν C. ἂρ EGHL. ἀρ A. κατα A. ἔγνῳ H. — 86 οὐταμένηϲ ὠτειλῆϲ Cant. — 87 δια A. — 88 ἴκελοϲ E. ἴκελοϲ G. εἴκελοϲ C. — 89 λάθεν: λάθ᾽ Lips. — 91 ᾤμοι ACE. ἐγὼ Lips. κατα L. κατὰ EG. λίπω κλυτὰ H Vrat. d. — 93 μή τίϲ E: ceteri μήτιϲ. — 94 τρωϲὶ L. — 95 μή πώϲ E: ceteri μήπωϲ. περιϲτείωϲ᾽ A Ambr. EHLS Et. Mg. 449, 35. Cram. Ep. 202, 24 et Heynii libri. περιϲείωϲ᾽ G. περιϲτήωϲ᾽ C Bekk. Anecd. 761, 1. — 96 τρῷαϲ L. κορυθαιόλοϲ AE Rom. — 97 τί ἤ A: ceteri τίη.

---

A. c. 73 Μέντῃ: τινὲϲ γράφουϲι Πείρῳ Schol. V. — 75 τὸ δὲ ἀκίχητά φαϲι Ποϲειδώνιον τὸν Ἀριϲτάρχου ἀναγνωϲτὴν τοῖϲ ἑξῆϲ προϲνέμειν, καὶ τὸν Ἀρίϲταρχον ἀποδέχεϲθαι Nicanor, conf. Eust. 1096, 14. — 89 ἀϲπέτῳ Bentleius. υἷα λάθ᾽ Barnesius ex coni. — 95 ἀρίϲταρχοϲ διὰ τοῦ η περιϲτήωϲι (sic) Didymus.

ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι,
ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.
τῶ μ' οὔ τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλείδῃ Ἀχιλῆι· κακῶν δέ κε φέρτατον εἴη.
εἷος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρόν,
ἐντροπαλιζόμενος ὥς τε λὶς ἠυγένειος,
ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι·
θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα·
Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος

---

V. L. 98 ἐθέλῃ AHL Harl. Lips. Vrat. b. A. Frgm. Mosc. ἐθέλῃσι Townl. ἐθέλει CE. ἐθέλοι G. — 99 τάχά οἱ AC. μέγα κῦμα C. ΚΥΛΙϹΘΗΙ Ambr. — 100 τῶ ACHL. ΤΩΙ Ambr. τῷ EG. — 102 Αἴαντός τε Schol. Θ 249. — 103 αὖθϊς C. ἐπιμνησώμεθα Townl. — 104 εἴ πως: εἴπερ C. — 105 ἀχιλῆ H. φέρτατον AL Barocc. Mor. Vrat. A. Eust. 1097, 27: φέρτερον CE 1097, 24 GHS. φόρτατον et γράφεται δὲ καὶ φέρτατον Et. Mg. 798, 47. — 106 * εἷος: ἕως A. Ambr. CGHL. ὃ ACGHL. ὅρμαινε Vrat. A. κατα bis A. — 107 ἐπῒ CH. τρῴων L. ἂρ AGHL. — 108 ἐξοπίσσω L. — 109 λῖς EHS: ceteri λὶς cum Apoll. Soph. 108, 31. — 110 ὂν ῥὰ GL. ἀπο L. — 111 ἔγχεϊ Cant. ἐνὶ φρεσὶν GHL Lips. Flor. Rom. — 112 ἀέκων A. ἀέκον G. ἀπο AL. μεσαύλοιο CGH Lips. Vrat. A. Flor. — 113 ὡς A. — 114 μετὰ στρεφθεὶς A. μεταστρεφεὶς C. — 116 ἐπαριστερὰ A. — 118 φόβον omitt. L Lips. — 119 θέων S. — 120 περι HL.

---

A. c. 103 ἰόντες: Ζηνόδοτος ἰόντε δυϊκῶς Didymus. — 109 λῖς Aristarchus: λὶς Aeschrio, conf. H. T. 307. — 110 δίωνται: οὕτως δίενται ὡς τίθενται μέμνηται ὁ ἡρωδιανὸς ἐν τῷ μ´ Schol. A. conf. Herod. ad M 276. — 112 ἀέκων, conf. H. T. 418.

σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆι προφέρωμεν
γυμνόν· ἀτὰρ τά γε τεύχε᾽ ἔχει κορυθαίολος Ἕκτωρ.
ὣς ἔφατ᾽, Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε᾽ ἀπηύρα,
ἕλχ᾽, ἵν᾽ ἀπ᾽ ὤμοιιν κεφαλὴν τάμοι ὀξέι χαλκῷ,
τὸν δὲ νέκυν Τρῳῇσιν ἐρυσσάμενος κυσὶ δοίη.
Αἴας δ᾽ ἐγγύθεν ἦλθε φέρων σάκος ἠύτε πύργον.
Ἕκτωρ δ᾽ ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ᾽ ἑταίρων,
ἐς δίφρον δ᾽ ἀνόρουσε· δίδου δ᾽ ὅ γε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ᾽ ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας
ἑστήκει ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
ᾧ ῥά τε νήπι᾽ ἄγοντι συναντήσωνται ἐν ὕλῃ
ἄνδρες ἐπακτῆρες· ὃ δέ τε σθένεϊ βλεμεαίνει·
πᾶν δέ τ᾽ ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωι βεβήκει.
Ἀτρεΐδης δ᾽ ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
ἑστήκει μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Γλαῦκος δ᾽, Ἱππολόχοιο πάις, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἕκτορ᾽ ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο.
ἦ σ᾽ αὔτως κλέος ἐσθλὸν ἔχει, φύξηλιν ἐόντα.

---

V. L. 121 σπεύσωμεν (o supra ω) H. ἀχῐλῆϊ CH. — 122 τάγ᾽||| L post ras. Lips. omisso τεύχε᾽. κορυθαιόλος A. — 123 ὡς A. ὅρινε ACGHL. — 124 δια A. — 125 Πατρόκλοιο Schol. P 186. — 127 ἐρυσάμενος Lips. δῴη E Rom. — 129 ἀναχάζεθ᾽ S. — 131 τρῳσὶ L. ἔμμεναι ἀνδρῶν Mor. — 133 ἑστήκει AE 1098, 40 et 51 GH 1. man. L. 1. man. S Cant. Mor. Harl. Lips. Vrat. b. d. A. Frgm. Mosc. εἱστήκει CE 1098, 54 H 2. man. L 2. man. Gellius XIII, 7. 4. ἑστήκειν nullus — 134 συναντήσωνται AGH Cant. Mor. Vrat. b. Frgm. Mosc συναντήσονται CEL Plutarchus de Amore prolis 2. — 136 καλύπτον CH Et. Mg. 364, 4. — 137 ὡς A. — 139 ἑστήκει AEH 1. man. Cant. Mor. Harl. Lips. (?) Vrat. b. d. A. Frgm. Mosc. εἱστήκει CGH 2. man. LS. — 141 omitt. A in textu. ἕκτορα G. — 142 ἕκτορ: ἕκτωρ Vrat. d. ἕκτορ ὦ G. — 143 σ᾽ omitt. S. αὔτως GH. αὐτως A.

---

A. c. 127 Τρῳῇσιν veteres conf. H. U. 214. P 255. C 179. libri τρωῇσιν. — 133 ὅτι χωρὶς τοῦ ῑ εἱστήκει Schol. A. ita Aristarchus, conf. H. T. 244. — 134—136 παρὰ Ζηνοδότῳ καὶ ἐν τῇ Χίᾳ οὐκ ἦσαν Didymus. — 136 καλύπτων: διὰ τοῦ ω̄ γράφεσθαι συνεφώνουν ἅπασαι Didymus. — 139 ἑστήκει: [οὕτως] ἔξω τοῦ ῑ Didymus.

φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄςτυ ςαώςεις
οἶος ςὺν λαοῖςι, τοὶ Ἰλίῳ ἐγγεγάαςιν·
οὐ γάρ τις Λυκίων γε μαχηςόμενος Δαναοῖςιν
εἶςι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρναςθαι δηίοιςιν ἐπ' ἀνδράςι νωλεμὲς αἰεί.
πῶς κε ςὺ χείρονα φῶτα ςαώςειας μεθ' ὅμιλον,
ςχέτλι', ἐπεὶ Cαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπες Ἀργείοιςιν ἕλωρ καὶ κύρμα γενέςθαι,
ὅς τοι πόλλ' ὄφελος γένετο, πτόλεΐ τε καὶ αὐτῷ,
ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
τῶ νῦν, εἴ τις ἐμοὶ Λυκίων ἐπιπείςεται ἀνδρῶν,
οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήςεται αἰπὺς ὄλεθρος.
εἰ γὰρ νῦν Τρώεςςι μένος πολυθαρςὲς ἐνείη,
ἄτρομον, οἷόν τ' ἄνδρας ἐςέρχεται, οἳ περὶ πάτρης
ἀνδράςι δυςμενέεςςι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυςαίμεθα Ἴλιον εἴςω.
εἰ δ' οὗτος προτὶ ἄςτυ μέγα Πριάμοιο ἄνακτος
ἔλθοι τεθνηὼς καί μιν ἐρυςαίμεθα χάρμης,
αἶψά κεν Ἀργεῖοι Cαρπηδόνος ἔντεα καλὰ
λύςειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴςω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριςτος
Ἀργείων παρὰ νηυςὶ καὶ ἀγχέμαχοι θεράποντες.
ἀλλὰ ςύ γ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλαςςας

V. l. 144 ὅππως καὶ C. ςαώςεις AE 1099, 65; 1100, 3. Frgm. Mosc. Cram. Ep. 31, 23. Et. Gud. 87, 19. ςαώςῃς CE 1099, 11; 42 GL Ammon. de Diff. s. v. πόλις. Et. Gud. 473, 43. ςαῴςῃς H. — 145 οἶος γὰρ ςὺν γαμβροῖςι τοὶ H. — 146 γε omitt. C. δαναοῖςι H. — 147 τῖς C. — 148 δηΐοιςι μετ' ACEGHLS et Heynii libri, conf. I 317. — 149 πῶς κέν ςοι L. ςοὶ χείρωνα Lips. — 151 κάλλιπες οἰωνοῖςιν S Harl. Lips. κῦρμα HS. — 152 ὅς τις Lips. πόλεΐ L Vrat. A. — 154 τῶ ACHL. τῷ EG. ἐπιπτείςςεται G. — 156 τρῴεςςι L. — 157 εἰςέρχεται EGL Lips. Flor. Rom. οἳ omitt. C. περι A. — 158 δῆριν ἔχουςιν Cant. Vat. Harl. Townl. Vrat. b. A. γρ. ἔθεντο Vrat. b. — 160 προτιάςτυ D. πρὸτὶ C. ποτὶ S. — 161 ἔλθη S. ἔλθῃ Cant. Frgm. Mosc. τεθνηὼς H Townl. Vrat. b. d. Frgm. Mosc. Cant. τεθνηιὼς AL. τεθνειὼς CDGS. χάρμης H. χάρμῃ L Lips. χάρμη S. — 163 καί κ': καὶ δ' Apoll. Soph. 65, 6. κ' omitt. S.

A. c. 144 ςαώςεις: οὕτως ἀρίςταρχος, ἄλλοι δὲ ςαώςῃς διὰ τοῦ η̄ Didymus. — 148 δηΐοιςιν ἐπ' Aristarchus teste Didymo ad I 317. — 149 Aristarchus ὅμιλον: ὁμίλου Zenodotus. — 153 κύνας: ὅτι Ζηνόδοτος γράφει κύον ἔτλης, ἄλογον δέ Aristonicus. — 161 οὕτως διὰ τοῦ η̄ τεθνηιώς (sic) Didymus.

cτήμεναι ἄντα κατ᾽ ὄccε ἰδὼν δηίων ἐν ἀυτῇ,
οὐδ᾽ ἰθὺc μαχέcαcθαι, ἐπεὶ cέο φέρτερόc ἐcτι.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προcέφη κορυθαίολοc Ἕκτωρ·
Γλαῦκε, τί ἢ δὲ cὺ τοῖοc ἐὼν ὑπέροπλον ἔειπεc;
ὢ πόποι, ἦ τ᾽ ἐφάμην cε περὶ φρέναc ἔμμεναι ἄλλων,
τῶν ὅccοι Λυκίην ἐριβώλακα ναιετάουcι·
νῦν δέ cευ ὠνοcάμην πάγχυ φρέναc, οἷον ἔειπεc,
ὅc τέ με φῂc Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ᾽ αἰεί τε Διὸc κρείccων νόοc αἰγιόχοιο,
ὅc τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηιδίωc, ὁτὲ δ᾽ αὐτὸc ἐποτρύνει μαχέcαcθαι.
ἀλλ᾽ ἄγε δεῦρο πέπον παρ᾽ ἔμ᾽ ἵcταcο καὶ ἴδε ἔργον,
ἠὲ πανημέριοc κακὸc ἔccομαι, ὡc ἀγορεύειc,
ἤ τινα καὶ Δαναῶν ἀλκῆc, μάλα περ μεμαῶτα,
cχήcω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντοc.
ὣc εἰπὼν Τρώεccιν ἐκέκλετο μακρὸν ἀύcαc·
Τρῶεc καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρεc ἔcτε, φίλοι, μνήcαcθε δὲ θούριδοc ἀλκῆc,
ὄφρ᾽ ἂν ἐγὼν Ἀχιλῆοc ἀμύμονοc ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάc.

---

V. l. 168 μάχεcθαι L Lips. ἐcτι ACDGH. φέρτεροc ἐcτὶν L. — 169 ἂρ ADGH. κορυθαιόλοc· ADH. — 170 τίη δε A. τί δε cυ D. ἔειπαc Plut. de Aud. poët. 11. — 171 ὢ πόποι A Vrat. d. Frgm. Mosc. Rom. ὢ πόποι CEG. ὢ πέπον DHLS Flor. Plutarchus de Aud. poët. 11. περὶ H. — 172 ναιετάουcι ACDEGH. — 173 δὲ cεῦ L. — 174 ὅc τέ με AD EGHL. ὅc τ᾽ ἐμὲ C Frgm. Mosc. φῂc EG. φῆιc D. μ᾽ ἔφηc H Vrat. d. — 175 οὔτι ES Harl. Vrat. A. Cram. Ep. 382, 19. ἐγὼ G Flor. Cram. Ep. 382, 19. — 176 αἰεὶ δὲ Townl. αἰγιόχοιο: ἠέ περ ἀνδρόc C Barocc. Mor. Harl. Townl. Vrat. b. A. γρ. ἠέ περ ἀνδρόc H, conf. Π 688. ἠέ περ ἀνδρῶν Vat. — 178 ὁτὲ: ὅτε CDHL. τὰ πλείω τῶν ἀντιγράφων καὶ νῦν παροξυτόνωc ἔχει ὅτε δ᾽ αὐτὸc ἐποτρύνει Eust. 1101, 39. ἐποτρύνει μαχέcαcθαι ἢ ἐποτρύνηcι μάχεcθαι Eust. 1101, 29, conf. Π 690. μαχέεcθαι L Lips. Harl. — 181 ἤ: libri ἤ. μάλα: μέγα G et edd. vett. — 183 ὡc A. τρῴεccιν L. ἀΐcαc G. — 184 τρῷεc L. — 185 ἔcτε AD: ἐcτὲ CGHL. φίλοι omitt. L Lips. — 186 ὄφρ᾽ ἂν ἐγὼ δύω κατὰ τεύχεα Πηλείωνοc Et. Gud. 154, 1.

---

A. c. 171 ὢ πόποι: παρὰ Ζηνοδότῳ ὢ πέπον, οὐ κακῶc Didymus. — 172 τὰ τοιαῦτα εἴωθεν ἀθετεῖν ὁ Ἀρίcταρχοc Schol. A. — 173 cευ: cε Zenodotus: asteriscus; οὐκ ὀρθῶc Ξ 95. — 174 με φῂc Alexio: μ᾽ ἔφηc Ptolem. Ascalonita. — 178 ὁτὲ: παρὰ ἀριcτοφάνει τότε δ᾽ αὐτὸc Didymus.

ὣc ἄρα φωνήcαc ἀπέβη κορυθαίολοc Ἕκτωρ
δηίου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρουc
ὦκα μάλ', οὔ πω τῆλε, ποcὶ κραιπνοῖcι μεταcπών,
οἳ προτὶ ἄcτυ φέρον κλυτὰ τεύχεα Πηλεΐδαο.
cτὰc δ' ἀπάνευθε μάχηc πολυδακρύου ἔντε' ἄμειβεν·
ἤ τοι ὃ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρὴν
Τρωcὶ φιλοπτολέμοιcιν, ὃ δ' ἄμβροτα τεύχε' ἔδυνε
Πηλείδεω Ἀχιλῆοc, ἅ οἱ θεοὶ Οὐρανίωνεc
πατρὶ φίλῳ ἔπορον· ὃ δ' ἄρα ᾧ παιδὶ ὄπαccε
γηράc· ἀλλ' οὐχ υἱὸc ἐν ἔντεcι πατρὸc ἐγήρα.
τὸν δ' ὡc οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺc
τεύχεcι Πηλείδαο κορυccόμενον θείοιο,
κινήcαc ῥα κάρη προτὶ ὃν μυθήcατο θυμόν·
ἆ δείλ', οὐδέ τί τοι θάνατοc καταθύμιόc ἐcτιν,
ὃc δή τοι cχεδὸν εἶcι· cὺ δ' ἄμβροτα τεύχεα δύνειc
ἀνδρὸc ἀριcτῆοc, τόν τε τρομέουcι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνεc ἐνηέα τε κρατερόν τε,
τεύχεα δ' οὐ κατὰ κόcμον ἀπὸ κρατόc τε καὶ ὤμων
εἵλευ· ἀτάρ τοι νῦν γε μέγα κράτοc ἐγγυαλίξω,
τῶν ποινὴν ὅ τοι οὔ τι μάχηc ἐκ νοcτήcαντι

V. l. 188 ὡc A. κορυθαιόλοc AD (?) GH Flor. Rom. — 190 μεταcπῶν H. — 191 προτιάcτυ D. πρὸτὶ C. ποτὶ S. πηλείδαο ACDGH et Heynii libri praeter Barocc. πηλείωνοc L Barocc. ἐν ἄλλῳ πηλείωνοc A. πηλείδαον S. — 192 πολυδακρύου AD: ceteri πολυδακρύτου. — 193 ἤτοι libri cum Apoll. Soph. 1, 12. ὃ μὲν C. ἅ, δῶκε AL. πρὸτὶ C. — 194 τρῳcὶ L. ὃ δ' D. ὅδ' CGHL. τεύχε' ἔδυνε G et edd. vett. τεῦχεα δῦνε ACL Cant. Mor. Harl. Townl. Vrat. d. A. Frgm. Mosc. δῦνεν DH, conf. Γ 327. 339. Ε 164. Ζ 28. Τ 12 (χ 109). ω 498. — 196 ὃ δ' D. ὅδ' CGHL. ἄρ' C. ἆρ E. ὄπαccε ACDGHL. ὤπαccε E Lips. — 198 ἴδε D Lips. Vrat. A. νεφεληγερέτα A. — 199 τεύχεcι λαμπόμενον μεγαθύμου πηλείωνοc H Vrat. d. — 200 ῥὰ CD 2. man. GHL. ἄρα D 1. man. ποτὶ S. προτιὸν D. — 201 οὐδέ τι τοι ACDGHL. οὐκέτι τοι S Cant. — 202 ὡc δὴ L Lips. cχεδὸν εἶcι L Lips. cχεδόν ἔcτι (εἶcι) A. cχεδόν ἐcτι CDEGHS. ἄβροτα Mor. δύνειc (η) S. — 203 τε omitt. L Lips. τρέμουcι S. — 204 ἐνηέά C. — 205 ἄπο H. — 206 εἶλεc G Vat. Flor. γε omitt. L Lips. — 207 ὅτι οὔτι GH Cant. Mor. Vat. Vrat. b. A. Flor. ἐκνοcτήcαντι CDEGHL Schol. Θ 187. ἐκνοcτήcαντα Vrat. A. νοcτήcαντοc Vrat. b.

A. c. 201 δείλ' Herodianus: δειλέ Aristarchus? conf. Λ 441. 452. — 202 ἐcτι: ἀρίcταρχοc εἶcιν Didymus. conf. β 284. ζ 27.

δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλεΐωνος.
ἦ, καὶ κυανέῃcιν ἐπ' ὀφρύcι νεῦcε Κρονίων.
Ἕκτορι δ' ἥρμοcε τεύχε' ἐπὶ χροΐ, δῦ δέ μιν Ἄρηc
δεινὸc ἐνυάλιοc, πλῆcθεν δ' ἄρα οἱ μέλε' ἐντὸc
ἀλκῆc καὶ cθένεοc. μετὰ δὲ κλειτοὺc ἐπικούρουc
βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ cφιcι πᾶcι
τεύχεcι λαμπόμενοc μεγαθύμῳ Πηλεΐωνι.
ὤτρυνεν δὲ ἕκαcτον ἐποιχόμενοc ἐπέεccι,
Μέcθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερcίλοχόν τε,
Ἀcτεροπαῖόν τε Δειcήνορά θ' Ἱππόθοόν τε,
Φόρκύν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιcτήν·
τοὺc ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προcηύδα·
κέκλυτε μυρία φῦλα περικτιόνων ἐπικούρων·
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενοc οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαcτον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχουc καὶ νήπια τέκνα
προφρονέωc ῥύοιcθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
τὰ φρονέων δώροιcι κατατρύχω καὶ ἐδωδῇ
λαούc, ὑμέτερον δὲ ἑκάcτου θυμὸν ἀέξω.
τῶ τιc νῦν ἰθὺc τετραμμένοc ἢ ἀπολέcθω,
ἠὲ cαωθήτω· ἣ γὰρ πολέμου ὀαριcτύc.
ὃc δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπηc
Τρῶαc ἐc ἱπποδάμουc ἐρύcῃ, εἴξῃ δέ οἱ Αἴαc,

---

V. L. 209 ἐποφρῦcï H. — 212 κλητοὺc H. κλὐτοὺc L. — 213 ῥὰ D 2. man. HL. δέ cφιν L Lips. πᾶcι ACDEGH Lips. — 214 μεγαθύμῳ πηλείωνι A: ceteri μεγαθύμου πηλείωνοc. ἕτεροι δέ φαcιν ὅτι μεγαθύμῳ Πηλείωνϊ ἰνδάλλετο Eust. 1103, 1. — 215 ὤτρυνε E Vrat. A. ἐποιχό-μενοc: παριcτάμενοc Vrat. A. παριcτάμενον Vrat. b. ἐπέεccι ADGH. — 216 θερcίλοχόν: ὀρcίλοχόν S Cant. Barocc. Mor. — 217 διcήνορα D. δειcίνορα G. δηΐνορα Vrat. A. βιήνορα S Cant. ἱππόθοόν: ἱππόνοόν Mor. — 218 φόρκύν A. χρόμιόν CDGHL. — 219 omitt. D in textu, habet in marg. man. rec. abest etiam a Lips. et Townl. et signo notatus est in A. — 220 ἐπῖ κούρων H. — 221 οὐδε H. — 223 τρώων L. — 224 ὑπ': ἀπ' GH Frgm. Mosc. — 225 τα H. — 227 τῶ ACDHL: τῷ EG. ἰθὺc omitt. D 1. man. — 228 ἦ ADL. ἥ GH. ἤ C. — 229 τε-
ηι
θνηῶτά H Cant. Townl. τεθνειῶτά A. τεθνεῶτά L Lips. τεθνειῶτά CD EGS. — 230 τρῷαc L. ἐρύcει G Vrat. b. d. εἴξει GH Vrat. b. d. A.

---

A. c. 214 μεγαθύμῳ Πηλείωνι: οὕτωc ἀρίcταρχοc κατὰ δοτικήν. ἄλλοι δὲ (αἱ κοιναὶ ἐκδόcειc teste Schol. A) μεγαθύμου πηλείωνοc Didymus. Ζηνόδοτοc Πηληϊάδεω Ἀχιλῆοc Schol. V. — 215 ὤτρυνεν: Ζηνόδοτοc (?) ὄτρυνεν Schol. A. — 229 τεθνηῶτα: διὰ τοῦ η̄ ἀρίcταρχοc Didymus.

ἥμιcυ τῷ ἐνάρων ἀποδάccομαι, ἥμιcυ δ' αὐτὸc
ἕξω ἐγώ· τὸ δέ οἱ κλέοc ἔccεται ὅccον ἐμοί περ.
ὣc ἔφαθ', οἳ δ' ἰθὺc Δαναῶν βρίcαντεc ἔβηcαν,
δούρατ' ἀναcχόμενοι· μάλα δέ cφιcιν ἔλπετο θυμὸc
νεκρὸν ὑπ' Αἴαντοc ἐρύειν Τελαμωνιάδαο·
νήπιοι· ἦ τε πολέccιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.
καὶ τότ' ἄρ' Αἴαc εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
ὦ πέπον ὦ Μενέλαε διοτρεφέc, οὐκέτι νῶι
ἔλπομαι αὐτώ περ νοcτηcέμεν ἐκ πολέμοιο.
οὔ τι τόcον νέκυοc περιδείδια Πατρόκλοιο,
ὅc κε τάχα Τρώων κορέει κύναc ἠδ' οἰωνούc,
ὅccον ἐμῇ κεφαλῇ περιδείδια, μή τι πάθηcι,
καὶ cῇ, ἐπεὶ πολέμοιο νέφοc περὶ πάντα καλύπτει,
Ἕκτωρ, ἡμῖν δ' αὖτ' ἀναφαίνεται αἰπὺc ὄλεθροc.
ἀλλ' ἄγ' ἀριcτῆαc Δαναῶν κάλει, ἤν τιc ἀκούcῃ.
ὣc ἔφατ', οὐδ' ἀπίθηcε βοὴν ἀγαθὸc Μενέλαοc,
ἤυcεν δὲ διαπρύcιον Δαναοῖcι γεγωνώc·
ὦ φίλοι, Ἀργείων ἡγήτορεc ἠδὲ μέδοντεc,
οἵ τε παρ' Ἀτρείδῃc, Ἀγαμέμνονι καὶ Μενελάῳ,

---

V. L. 231 τῷ G Townl. Vrat. A. Flor. τῶν A. τῶν CDEHLS Frgm. Mosc. Rom. — 232 ἕξω: ἄξω Vrat. A. ὅcον Lips. — 233 ὡc A. οἵδ' CGHL. ἔβαν D. — 234 δέ cφιcιν ACDEG. δέ cφιν S Harl. γάρ cφιcιν H Vrat. d. γάρ cφιν L Lips. ἔλπετο ACEGLS Ven. B. Harl. Lips. ἤλπετο DH Barocc. Vrat. d. — 236 οἵ τε πολέccιν L. ἐπ A. ἀπῆρα G. — 237 ἂρ ADGHL. — 238 νῶϊν C Frgm. Mosc. — 239 αὐτῷ G. περινοcτηcαίμεν L. νοcτηcαίμεν D. νοcτήcαιμεν Lips. νοcτηcαίμεν C. — 240 οὔτοι G. περιδείδια EH Vrat. A. Rom. Schol. O 642. πέρι δείδια CDG LS. πέρι, δείδια A. — 241 τρῴων L. κορέει ACDG Lips. Harl. Flor. κορέη L. κορέcει EHS Rom. κορέcῃ Mor. Barocc. ἢ δ' D. — 242 ἐμοὶ Eust. 1104, 35, sed ἐμῇ 1104, 57. περιδείδια EHL Rom. Schol. O 642. πέρι δείδια ACDG. πάθηcι ACDEGHL. — 243 περϊ CDH. — 244 ἡμῖν δ': ἡμῖν DG Cant. Flor. δ' ἡμῖν S. ἡμῖν τ' αὖ L. — 246 ὡc A. — 247 ἤϋcε G Vrat. A. Flor. Rom. — 249 ἀτρείδηc' L. ἀτρείδῃ D Harl. Cant. Vrat. b. A. καὶ μενελάῳ: ποιμένι λαῶν S Vrat. A.

---

A. c. 231 ἀρίcταρχοc κατὰ δοτικὴν ἥμιcυ τῷ ἐνάρων Didymus. — 234 ἔλπετο: οὕτωc Ἀριcτοφάνηc διὰ τοῦ ε̄· γράφεται δὲ καὶ διὰ τοῦ η̄ Didymus. Ἀριcτοφάνηc δὲ ἔλπετο γράφει Schol. V. equidem non Aristophanem sed Aristarchum ἔλπετο scripsisse credo, conf. Schol. P 603 διὰ τοῦ ε̄ αἱ ἀριcτάρχου ἔλπετο. de Aristarchi et Aristophanis nominibus confusis conf. H. T. 25. adn. 47. — 240 περιδείδια Ptolem. Ascalonita: πέρι δείδια Aristarchus teste Schol. V, conf. H. T. 339. — 242 περιδείδια: οὐκ ἀναcτρεπτέον τὴν πρόθεcιν Herodianus.

δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι.
ὣς ἔφατ', ὀξὺ δ' ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας.
πρῶτος δ' ἀντίος ἦλθε θέων ἀνὰ δηιοτῆτα,
τὸν δὲ μετ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος,
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ.
τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο
βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι
ἠιόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω,
τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν. αὐτὰρ Ἀχαιοὶ
ἔστασαν ἀμφὶ Μενοιτιάδῃ ἕνα θυμὸν ἔχοντες,
φραχθέντες σάκεσιν χαλκήρεσιν. ἀμφὶ δ' ἄρά σφι
λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν

V. L. 250 πίνουσι E Lips. Et. Mg. 265, 29. ἕκαστα Harl. ἕκαστοι Vrat. b. — 251 λαῶν H Vrat. d. — 252 δέ μοι ἐστὶ CDEHL. διασκοπιάασθαι Lips. — 254 ἐνι AD. — 255 τρωῇσι CEL. τρωῇσιν D. κυσὶ E Lips. — 256 ὡς A. ὣς φάτο τοῦ δ' ἤκουσεν H Vrat. d. οἰϊλῆος G. — 257 ἀνα D. — 259 ἀνδριφόντῃ GH Townl. Vrat. d. — 260 τίς κεν ᾗσιν ἐνὶ φρεσὶν Frgm. Mosc. τίς κεν ἑῇσιν ἐνὶ Vrat. d. τίς ἂν ᾗσι φρεσὶν Eust. Rom. ἐν ἄλλῳ τίς κ' ἥισιν ἐνιφρεσίν A. εἴποι: εἴπῃ HS Vat. Mor. Frgm. Mosc. Vrat. A. — 262 τρῷες L. ἂρ ADEGHL. — 263 ἔπι D. διιπετέος A. — 264 βέβρυχε EG Lips. Flor. Rom. βεβρύχει L. ποτι A. ποτὶρρόον CH. ποτιρρόον D. ποτίῤῥοον Townl. Frgm. Mosc. alii. ἀμφι D. — 265 βοάουσιν Pseudopl. 109, 14. ἰστέον ὅτι οὐ μόνον πληθυντικῶς γράφεται ἠιόνες βοόωσιν, ἀλλὰ καὶ ἐν γενικῇ ἑνικῇ ἄκραι ἠιόνος Eust. 1106, 50. — 266 τρῶες ἰαχῇ ἴσαν ACD 1. man. (nunc τρώων post ras.) EHL (τρῷες) S Cant. Barocc. Mor. Vat. Vrat. d. Frgm. Mosc. τρώων ἰαχὴ γένετ' G Flor. — 267 ἔστασαν EL. ἑστασαν A. ἀμφι D. — 268 σάκεσι G Flor. Rom. ἀμφι D. ἄρά G. σφι ACE 1110, 7 L Lips. Vrat. A. ceteri σφιν. — 269 λαμπρῇσι CDEG. πολλήν: πουλὺν Mor. Cant. πουλὴν S. πολλὴν ἢ μᾶλλον πουλύν Eust.

A. c. 250 ἕκαστος: ἔν τισι διὰ τοῦ ᾱ ἕκαστα Didymus. — 260, 261 Ζηνόδοτος ἠθέτηκεν Aristonicus. — 263 διιπετέος: διειπετέος Zenodotus vel Zenodorus, conf. H. T. 226. — 264 βέβρυχεν: ἐν τῇ κατ' ἀριστοφάνους βεβρύχῃ Didymus. — 268 φραχθέντες: Ζηνόδοτος ἀρθέντες Didymus.

χεῦ', ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάρος γε,
ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
μίσηϲεν δ' ἄρα μιν δηίων κυϲὶ κύρμα γενέϲθαι
Τρῳῇϲιν· τῶ καί οἱ ἀμυνέμεν ὦρϲεν ἑταίρουϲ.
ὦϲαν δὲ πρότεροι Τρῶεϲ ἑλίκωπαϲ Ἀχαιούϲ·
νεκρὸν δὲ προλιπόντεϲ ὑπέτρεϲαν, οὐδέ τιν' αὐτῶν
Τρῶεϲ ὑπέρθυμοι ἕλον ἔγχεϲιν ἱέμενοί περ,
ἀλλὰ νέκυν ἐρύοντο· μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
μέλλον ἀπέϲϲεϲθαι· μάλα γάρ ϲφεαϲ ὦκ' ἐλέλιξεν
Αἴαϲ, ὃϲ περὶ μὲν εἶδοϲ, περὶ δ' ἔργα τέτυκτο
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλεΐωνα.
ἴθυϲεν δὲ διὰ προμάχων ϲυῒ εἴκελοϲ ἀλκὴν
καπρίῳ, ὅϲ τ' ἐν ὄρεϲϲι κύναϲ θαλερούϲ τ' αἰζηοὺϲ
ῥηιδίωϲ ἐκέδαϲϲεν ἑλιξάμενοϲ διὰ βήϲϲαϲ·
ὣϲ υἱὸϲ Τελαμῶνοϲ ἀγαυοῦ, φαίδιμοϲ Αἴαϲ,
ῥεῖα μετειϲάμενοϲ Τρώων ἐκέδαϲϲε φάλαγγαϲ,
οἳ περὶ Πατρόκλῳ βέβαϲαν, φρόνεον δὲ μάλιϲτα
ἄϲτυ πότι ϲφέτερον ἐρύειν καὶ κῦδοϲ ἀρέϲθαι.
ἤ τοι τὸν Λήθοιο Πελαϲγοῦ φαίδιμοϲ υἱόϲ,
Ἱππόθοοϲ, ποδὸϲ ἕλκε κατὰ κρατερὴν ὑϲμίνην,
δηϲάμενοϲ τελαμῶνι παρὰ ϲφυρὸν ἀμφὶ τένονταϲ,
Ἕκτορι καὶ Τρώεϲϲι χαριζόμενοϲ· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τιϲ ἐρύκακεν ἱεμένων περ.

---

V. l. 270 ἤχθαιρε ACEH Frgm. Mosc. Vrat. d. ἤχθηρε DG Rom. ἤχθηρε S. ἔχθηρε L Lips. πάροϲ γε omitt. C 1. man. — 272 μίϲηϲε G Schol. C 376. ἀρά G. κῦρμα DS. κυϲὶ post γενέϲθαι in D colloc. — 273 τρῳῇϲιν AL. τρωῇϲιν CH. τρωῇϲι DE. τῶ ADHL: τῷ CEG. καί οἱ: κεν οἱ Cant. Vat. κέ οἱ S. ἐν ἄλλῳ ὦρϲεν ἀχαιούϲ A. — 274 τρῷεϲ L. — 276 τρῷεϲ L. ἰ̓έμενοι H. — 277 abhinc usque ad vs. 577 codex A recentiore manu est scriptus: desunt scholia et signa critica. — 278 ἀπέϲεϲθαι G Flor. Rom. γὰρ ϲφέαϲ GH. — 279 πέρι μὲν A. περῒ δ' H. ἔργ' ἐτέτυκτο ADGH Vat. Vrat. b. d. A. — 281 ἴκελοϲ E Vrat. A. ἴκελοϲ G. — 282 ὄρεϲι G. — 283 ἐκέδαϲεν G Flor. ἐλιξάμενοϲ GH. βήϲαϲ G. — 285 τρῴων L. — 287 ποτὶ ACEGHL. ποτι D. — 288 libri ἤτοι. — 289 ἕλκε L Lips.: εἷλκε ACDEGHS et Heynii libri. κατα D. — 290 παρὰ: περὶ Et. Mg. 750, 34. τένονταϲ: τένοντε AHS Cant. Vrat. d. Frgm. Mosc. conf. H. U. 169. — 291 τρῴεϲϲι L. — 292 ἱεμένων AEH ex corr. S et nonnulli apud Heynium. ἱεμένων C: ἱεμένῳ DH 1. man. L Lips. Vat. Vrat. d. ἱέμενον G. ἱέμενοϲ Harl.

---

A. c. 270 ἤχθαιρε: ἀρίϲταρχοϲ διὰ τοῦ ε̅ ἔχθαιρε Didymus, conf. Schol. Υ 306. — 292 ἱεμένων Aristarchus: alii ἱεμένῳ, conf. Didymus ad Ο 450 διχῶϲ ἀρίϲταρχοϲ καὶ ἱεμένῳ καὶ ἱεμένων.

τὸν δ' υἱὸς Τελαμῶνος ἐπαΐξας δι' ὁμίλου
πλῆξ' αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρῄου·
ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ
πληγεῖς' ἔγχεϊ τε μεγάλῳ καὶ χειρὶ παχείῃ,
ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
αἱματόεις· τοῦ δ' αὖθι λύθη μένος, ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
κεῖσθαι· ὃ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
τῆλ' ἀπὸ Λαρίσης ἐριβώλακος, οὐδὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὃ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱόν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆι
οἰκία ναιετάασκε πολέσς' ἄνδρεσσιν ἀνάσσων,
τὸν βάλ' ὑπὸ κληῖδα μέσην· διὰ δ' ἀμπερὲς ἄκρη
αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἴας δ' αὖ Φόρκυνα, δαΐφρονα Φαίνοπος υἱόν,
Ἱπποθόῳ περιβάντα μέσην κατὰ γαστέρα τύψε·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
ἤφυσ'· ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,

---

V. l. 293 ἀπαΐξας L. — 294 χαλκοπαρῄου AEHL: ceteri sine iota adscripto. — 295 ἤρϋκε C ex corr. ἔρεικε D ex corr. κόρυς omitt. L Lips. — 299 χαμᾶζε DE: χαμάζε ACGHL. — 300 ὃ δ' AD. ὅδ' CDHL. ἄγχ': ἄχ' G. — 301 λαρίσσης ACEGHL: λαρίσης D Strabo XIII, 620, conf. B 841. τοκεῦσι ACDGHL. — 302 θρέπτρα ACDEH Cant. Townl. Frgm. Mosc.: θρέπτα GLS Lips. Vrat. A. Flor. conf. Δ 478. — 304 δ' αὖ C. δ' ἄντ' Vrat. A. — 305 ὃ μὲν C. — 306 ὃ δὲ C. σχέδιον AL. μεγάθυμον G Flor. ἰφίτου μεγαθύμου τυδέος υἱόν D (υἱόν add. man. rec.). — 307 κλητῷ Vrat. A. — 308 πολλέσς' C. πόλεσιν D. ἀνδράσσιν Rom. ἄνδρεσσιν libri mei. — 309 δια ACHL. — 310 αἰχμῇ χαλκείῃ H. ἀνέσχε CGH. — 313 κατα DG. τύψε CGH. — 314 δέ οἱ θώρηκος H. — 315 ὃ δ' AD. ὅδ' CGHL. — 317 μέγα: μέγ' ACDGHLS et Heynii libri. correxit Barnesius, conf. Δ 506. ἐρύοντο H. εἰρύσατο G. ἐρρύσαντο Vrat. A.

---

A. c. 302 θρέπτρα: θρεπτὰ Zenodotus, conf. Schol. Δ 478. — 307 Φωκήων: φησὶν Ἀπίων καὶ Ἡρόδωρος καὶ διὰ διφθόγγου τὴν παραλήγουσαν τοῦ Φωκήων γράφεσθαι, conf. Didymum ad B 517.

Φόρκύν θ' Ἱππόθοόν τε, λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
ἔνθά κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰϲανέβηϲαν ἀναλκείῃϲι δαμέντεϲ·
Ἀργεῖοι δέ κε κῦδοϲ ἕλον καὶ ὑπὲρ Διὸϲ αἶϲαν
κάρτεϊ καὶ ϲθένεϊ ϲφετέρῳ· ἀλλ' αὐτὸϲ Ἀπόλλων
Αἰνείαν ὤτρυνε δέμαϲ Περίφαντι ἐοικώϲ,
κήρυκι Ἠπυτίδῃ, ὅϲ οἱ παρὰ πατρὶ γέροντι
κηρύϲϲων γήραϲκε, φίλα φρεϲὶ μήδεα εἰδώϲ·
τῷ μιν ἐειϲάμενοϲ προϲέφη Διὸϲ υἱὸϲ Ἀπόλλων·
Αἰνεία, πῶϲ ἂν καὶ ὑπὲρ θεὸν εἰρύϲϲαιϲθε
Ἴλιον αἰπεινήν; ὡϲ δὴ ἴδον ἀνέραϲ ἄλλουϲ
καρτεϊ τε ϲθένεϊ τε πεποιθόταϲ ἠνορέῃ τε
πληθεϊ τε ϲφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχονταϲ.
ἡμῖν δὲ Ζεὺϲ μὲν πολὺ βούλεται ἢ Δαναοῖϲι
νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄϲπετον οὐδὲ μάχεϲθε.
ὣϲ ἔφατ', Αἰνείαϲ δ' ἑκατηβόλον Ἀπόλλωνα
ἔγνω ἐϲ ἄντα ἰδών, μέγα δ' Ἕκτορα εἶπε βοήϲαϲ·
Ἕκτόρ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
αἰδὼϲ μὲν νῦν ἧδέ γ', ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰϲαναβῆναι ἀναλκείῃϲι δαμένταϲ.
ἀλλ' ἔτι γάρ τίϲ φηϲι θεῶν ἐμοὶ ἄγχι παραϲτὰϲ
Ζῆν', ὕπατον μήϲτωρα, μάχηϲ ἐπιτάῤῥοθον εἶναι·
τῶ ῥ' ἰθὺϲ Δαναῶν ἴομεν, μὴ δ' οἵ γε ἕκηλοι

---

V. L. 318 φόρκυνά θ' L Vrat. A. φόρκυν omisso θ' A Frgm. Mosc. φόρκυν' H. — 319 ἔνθά κεν ACDGHL. τρῷεϲ L. — 320 εἰϲ ἀνέβηϲαν H. ἀναλκίῃϲι ADH Vrat. d. ἀναλκεΐῃϲι S. — 321 κε omitt. C Vrat. A. — 322 κάρτεΐ τε καὶ C. — 324 κήρυκι libri et edd. vett. cum Herodiano περὶ διχρ. 268, 4. Cram. Ep. 233, 17. Et. Mg. 511, 47. Et. Gud. 320, 37. Drac. de Metr. 28, 8. 56, 6. Schol. K 258. κήρυκ' Barnesius, conf. H. U. 127. Ἠπυτίδῃ κήρυκι ὅϲ οἱ Bothius, male. — 325 φρενὶ A. — 327 εἰρύϲαιϲθε EG edd. vett. εἰρύϲεϲθε DH Vrat. d. εἰρύϲαϲθε AS Vrat. b. A. ἐρύϲϲαιϲθε Townl. — 330 πλήθει H bene. ὑπερδεᾶ C Vrat. A. Et. Mg. 778, 38, cf. δ 728. — 331 ἡμῖν: ὑμῖν ES Cant. Ζεὺϲ μὲν omitt. L, μὲν A. δαναοῖϲι ACDG. — 333 δὲ ἑκατηβόλον AS, an δὲ ἑκηβόλον? — 334 ἐϲ ἄντα H: ceteri ἐϲάντα. ἕκτορι Vat. Vrat. A. — 335 τ' omitt. L. τρώων L. ἐπίκουροι L. — 336 ἠδέ γ' C. ἧδε γ' D. ἦδ' Lips. γ' omitt. L Lips. — 337 ἀναλκίῃϲι ACGH. ἀναλκεΐῃϲι S. — 338 τιϲ φηϲὶ CDL. — 339 ἐπιτάροθον A. — 340 τῶ CDGHL: τῷ A. μὴ δ' ACDGHL. μὴ δή γε Harl. οἵ γε: οἵ γ' L. οἵδε G Flor.

---

A. c. 334 ἐϲ ἄντα, conf. H. T. 243.

Πάτροκλον νηυϲὶν πελαϲαίατο τεθνηῶτα.
ὣϲ φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενοϲ ἔϲτη·
οἳ δ' ἐλελίχθηϲαν καὶ ἀναντίοι ἔϲταν Ἀχαιῶν.
ἔνθ' αὖτ' Αἰνείαϲ Λειώκριτον οὔταϲε δουρί,
υἱὸν Ἀρίϲβαντοϲ, Λυκομήδεοϲ ἐϲθλὸν ἑταῖρον.
τὸν δὲ πεϲόντ' ἐλέηϲεν ἀρηίφιλοϲ Λυκομήδηϲ,
ϲτῆ δὲ μάλ' ἐγγὺϲ ἰών, καὶ ἀκόντιϲε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἱππαϲίδην Ἀπιϲάονα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυϲεν,
ὅϲ ῥ' ἐκ Παιονίηϲ ἐριβώλακοϲ εἰληλούθει,
καὶ δὲ μετ' Ἀϲτεροπαῖον ἀριϲτεύεϲκε μάχεϲθαι.
τὸν δὲ πεϲόντ' ἐλέηϲεν ἀρήιοϲ Ἀϲτεροπαῖοϲ,
ἴθυϲεν δὲ καὶ ὅ πρόφρων Δαναοῖϲι μάχεϲθαι·
ἀλλ' οὔ πωϲ ἔτι εἶχε· ϲάκεϲϲι γὰρ ἔρχατο πάντῃ
ἑϲταότεϲ περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο.
Αἴαϲ γὰρ μάλα πάνταϲ ἐπῴχετο πολλὰ κελεύων·
οὔτέ τιν' ἐξοπίϲω νεκροῦ χάζεϲθαι ἀνώγει
οὔτέ τινα προμάχεϲθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, ϲχεδόθεν δὲ μάχεϲθαι.
ὣϲ Αἴαϲ ἐπέτελλε πελώριοϲ, αἵματι δὲ χθὼν
δεύετο πορφυρέῳ, τοὶ δ' ἀγχιϲτῖνοι ἔπιπτον
νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
καὶ Δαναῶν· οὐδ' οἳ γὰρ ἀναιμωτί γε μάχοντο,
παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ

---

V. L. 341 νηυϲὶ ACDL Lips. τεθνηῶτα A Cant. Harl. Townl.
ηι η
τεθνειῶτα L. τεθνειῶτα S. τεθνειῶτα CDGH. — 342 ῥὰ L. προμάχων: πρὸ φίλων Lips. — 343 οἳ δ' D. οἵδ' CGHL. ἐναντίον G. — 344 λειόκριτον G edd. vett. — 346 ἀρηΐφιλοϲ μενέλαοϲ L. — 346—351 omitt. H in textu, habet in marg. man. rec. — 348 ἀπιϲάονα: ἀμυθάονα G Mor. Barocc. Vrat. b. — 349 ὑπο CD. hunc versum omitt. Vat. — 351 μετὰ ϲτεροπαῖον Vrat. d. — 353 ἴθυϲε Vrat. A. ὃ ACDGH. — 354 πάντῃ ADEG: πάντη CHL. — 355 προ CH. — 357 οὔτέ τιν' ACDEGH. οὐδέ τιν' L. νεκροῦ μάχεϲθαι L Vrat. A. — 358 οὔτέ τινα ACDEGHL. ἄλλων: ἄλλον C. — 359 ϲχεδόθεν τε CHE Harl. Townl. Vrat. d. Et. Mg. 193, 34. — 361 τοὶ: οἱ Apoll. Soph. 5, 20. ἀγχιϲτῖνοι AC post ras. D: ἀγχηϲτῖνοι C 1. man. EGHS et Heynii libri cum Apoll. Soph. 5,
η
20. ἀγχιϲτῖνοι L. conf. χ 118. ω 181. 449. Cram. An. Ox. II, 319, 19. Et. Mg. 14, 45. — 362 τρῴων L. — 363 οἳ ACDGHL. ἀναιμωτεί L Lips. ceteri ἀναιμωτί. γε μάχοντο E Mor. Townl. ceteri γ' ἐμάχοντο. — 364 φθίνϊθον L. μέμνοντο L Lips. μέμνητο G. ἀεὶ H.

ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρός, οὐδέ κε φαίης
οὔτέ ποτ' ἠέλιον ϲῶν ἔμμεναι οὔτε ϲελήνην.
ἠέρι γὰρ κατέχοντο μάχης ἐπί θ' ὅϲϲον ἄριϲτοι
ἕϲταϲαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνηῶτι.
οἱ δ' ἄλλοι Τρῶεϲ καὶ ἐυκνήμιδεϲ Ἀχαιοὶ
εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι, πέπτατο δ' αὐγὴ
ἠελίου ὀξεῖα, νέφοϲ δ' οὐ φαίνετο πάϲηϲ
γαίηϲ οὐδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο,
ἀλλήλων ἀλεείνοντεϲ βέλεα ϲτονόεντα,
πολλὸν ἀφεϲταότεϲ. τοὶ δ' ἐν μέϲῳ ἄλγε' ἔπαϲχον
ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλέι χαλκῷ
ὅϲϲοι ἄριϲτοι ἔϲαν. δύο δ' οὔ πω φῶτε πεπύϲθην,
ἀνέρε κυδαλίμω, Θραϲυμήδηϲ Ἀντίλοχόϲ τε,
Πατρόκλοιο θανόντοϲ ἀμύμονοϲ, ἀλλ' ἔτ' ἔφαντο
ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεϲϲι μάχεϲθαι.
τὼ δ' ἐπιοϲϲομένω θάνατον καὶ φύζαν ἑταίρων
νόϲφιν ἐμαρνάϲθην, ἐπεὶ ὣϲ ἐπετέλλετο Νέϲτωρ

---

V. L. 365 καθ' ὅμιλον ACDH Harl. Cant. Mor. Vat. Vrat. b. A. ἀν' ὅμιλον GL Lips. edd. vett. ἀν' ἢ καθ' E. ἀλεξαίμεναι (ε supra) C. φόνον ACHLS Harl. Cant. Mor. Frgm. Mosc. πόνον EG edd. vett. χόλον αἰπύν D. — 366 οἳ μὲν C. — 367 οὔτέ ποτ' ACDGHL. ϲῶν L Lips. ϲόον ACDEGH Pseudoplut. 129. 6. οὐδὲ ϲελήνην A. — 368 μάχηϲ ἔπι E. μάχηϲ ἔπι θ' Cant. Mor. Harl. Lips. Vat. Townl. Flor. μάχηϲ ἐπί θ' AD 1. man. (?) S Ven. B. Vrat. A. Frgm. Mosc. μάχηϲ· ἐπί θ' CH ex em. μάχηϲ ἐπεί θ' Vrat. b. μάχηϲ ἔπει θ' G. μάχη· ἐπί θ' H 1. man. μάχη ἐπί θ' Vrat. d. μάχη ἔπι θ' L. μάχη|||| ἐπί θ' ὅϲοι D post ras. ὅϲϲον: libri ὅϲϲοι. — 369 ἔϲταϲαν DEL. κατατεθνηῶτι AGS Cant. Townl. Frgm. Mosc. Vrat. b. κατατεθνειῶτι CDHL. — 370 τρῷεϲ L. τρῶέϲ τε καὶ εὐκνήμιδεϲ editores ante Wolfium. εὐκνήμιδεϲ ADGHL. — 371 ἔκηλοι D. πίπτατο δ' αὐγῇ G. — 373 δὲ μάχοντο GH edd. vett. ceteri δ' ἐμάχοντο. — 375 ἀφεϲταῶτεϲ D. μέϲϲω H. — 377 ὅϲοι D. δύω DH. πεπύϲθην: πυθέϲθην S Cant. — 378 κυδαλίμῳ AH. — 379 θανόντοϲ: πεϲόντοϲ CD Vrat. d. ἀλλ' ἔτ': ἀλλά τ' L Lips. — 380 ἐνὶ: ἐν L. τρῴεϲϲι L. — 381 πόλεμον D et in marg. γρ. καὶ θάνατον. — 382 ἐμαρνάϲθην: μαρνάϲθην? conf. Θ 127. Ξ 406. γ 140. Ω 281. sed etiam H 303 ἠμὲν ἐμαρνάϲθην librorum consensus tuetur.

---

A. c. 368 τὸ ἑξῆϲ ἐφ' ὅϲϲον, καὶ οὐκ ἀναϲτρεπτέον· ὁ δὲ τε πλεονάζει. ἔϲτι γὰρ ὁ λόγοϲ καὶ ὁ νοῦϲ οὕτωϲ· ἐφ' ὅϲϲον οἱ ἄριϲτοι ἔϲταϲαν, ἐπὶ τοϲοῦτο ἀέρι κατείχοντο. Ζηνόδοτοϲ ἐπὶ τόϲϲον. Ἀριϲτοφάνηϲ μάχῃ ἔνι Schol. V. scholiasta igitur legebat μάχηϲ ἐπί θ' ὅϲϲον, Schol. B μάχην ἐπί θ' ὅϲϲοι, quod patet ex interpretatione eius ὅϲοι γὰρ ἄριϲτοι ἐπὶ τὴν μάχην. quid veteres scripserint, pro certo affirmari non potest, quum scholia A deficiant. μάχηϲ ὅϲϲον τ' ἐπ' ἄριϲτοι Lachmannus ex coni.

ὀτρύνων πόλεμον δὲ μελαινάων ἀπὸ νηῶν.
τοῖϲ δὲ πανημερίοιϲ ἔριδοϲ μέγα νεῖκοϲ ὀρώρει
ἀργαλέηϲ· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲϲ αἰεὶ
γούνατά τε κνῆμαί τε πόδεϲ θ' ὑπένερθεν ἑκάϲτου
χεῖρέϲ τ' ὀφθαλμοί τε παλάϲϲετο μαρναμένοιιν
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεοϲ Αἰακίδαο.
ὡϲ δ' ὅτ' ἀνὴρ ταύροιο βοὸϲ μεγάλοιο βοείην
λαοῖϲιν δώῃ τανύειν, μεθύουϲαν ἀλοιφῇ·
δεξάμενοι δ' ἄρα τοί γε διαϲτάντεϲ τανύουϲι
κυκλόϲ', ἄφαρ δέ τε ἰκμὰϲ ἔβη, δύνει δέ τ' ἀλοιφή,
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶϲα διὰ πρό·
ὣϲ οἵ γ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
ἕλκεον ἀμφότεροι· μάλα δέ ϲφιϲιν ἔλπετο θυμόϲ,
Τρωϲὶν μὲν ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖϲ
νῆαϲ ἔπι γλαφυράϲ· περὶ δ' αὐτοῦ μῶλοϲ ὀρώρει
ἄγριοϲ· οὐδέ κ' Ἄρηϲ λαοϲϲόοϲ οὐδέ κ' Ἀθήνη
τόν γε ἰδοῦϲ' ὀνόϲαιτ', οὐδ' εἰ μάλα μιν χόλοϲ ἵκοι.
τοῖον Ζεὺϲ ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
ἤματι τῷ ἐτάνυϲϲε κακὸν πόνον. οὐδ' ἄρα πώ τι
ᾔδεε Πάτροκλον τεθνηότα δῖοϲ Ἀχιλλεύϲ.

---

V. L. 383 πόλεμόνδε omnes. — 384 πανημερίου A. — 385 ἀργαλέοιϲ L. δὲ omitt. D. — 386 θ' omitt. D. — 387 παλάϲϲοντο D. μαρναμένοιϲιν C Cant. Mor. Harl. Frgm. Mosc. Vrat. d. ceteri μαρναμένοιϊν, quod defendit Eustathius οἷα οὐχ ἁπλῶϲ ἐπὶ πλήθουϲ ῥηθέν, ἀλλ' ἐπὶ δυάδοϲ μερῶν τοῦ τε Τρωϊκοῦ τοῦ τε Ἀχαιικοῦ. — 388 ἀμφὶ G. — 390 λαοῖϲι ADE. δώη ACDL. δῴη EG. δοίη H Vrat. d. — 391 τανύουϲι ACDEG. — 392 δέ τε: δέ τ' CD. — 393 τανύεται D. τε omitt. CD. διὰ πρὸ G: vulgo διαπρό. — 395 εἵλκεον ACDEGHLS et Heynii libri. δέ ϲφιϲιν ACDHLS Harl. Cant. Mor. Vat. Vrat. b. d. A. δέ ϲφιν Lips. vulgo γάρ ϲφιϲιν cum G Flor. ἔλπετο CDGL Lips. Mor. Frgm. Mosc. Townl. Vrat. b. Flor. ἤλπετο AHS Rom. — 396 τρωϲὶ D. τρῳϲὶν L. μέν ῥ' ἐρύειν ACHS Vat. Frgm. Mosc. Vrat. b. ῥ' in caesura semiternaria et ante ἐρύειν opus non esse docent permulti loci, conf. Annal. Gymn. Austr, 1871, pg. 502 sqq. προτὶ: ποτὶ S ut fere semper. — 397 ἐπὶ ACDG. ἔπι L. ἀνὰ H Vat. Vrat. d. ἀνὰ ἢ ἐπὶ E. νεῖκοϲ ὀρώρει C. — 398 ἄγριον C. οὐδέ κ': οὐδ' ἂν E. — 399 τὸν δ' A. τὸν δὲ S. τόνδε Cant. τόν γ' Lips. Vrat. b. εἰδοῦϲ' Vrat. b. ἥκει L Lips. ἵκῃ D. ἥκοι Apoll. de Pron. 109 A. — 400 Ζεὺϲ περὶ D. — 401 ἤματι D. ἄρά πω A. ἄρα πῶ C. — 402 τεθνειότα CL Cant Harl. Lips. Frgm. Mosc. τεθνειῶτα D. τεθνηῶτα A. ἀχῖλεύϲ C.

---

A. c. 392 κυκλόϲ': κύκλοϲ Aristarchus. κύκλῳ Zenodotus, conf. Δ 212. H. S. pg. 90. — 395 εἵλκεον: ἕλκεον Aristarchus. scriptura γάρ pro δέ orta videtur ex interpretatione. ἔλπετο Aristarcho tribuo, conf. ad 234.

πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
τείχει ὕπο Τρώων· τό μιν οὔ ποτε ἔλπετο θυμῷ
τεθνάμεν, ἀλλὰ ζωὸν ἐνιχριμφθέντα πύλῃϲιν
ἂψ ἀπονοϲτήϲειν, ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,
ἐκπέρϲειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ ϲὺν αὐτῷ·
πολλάκι γὰρ τό γε μητρὸϲ ἐπεύθετο νόϲφιν ἀκούων,
ἥ οἱ ἀπαγγέλλεϲκε Διὸϲ μεγάλοιο νόημα·
δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόϲον, ὅϲϲον ἐτύχθη,
μήτηρ, ὅττί ῥά οἱ πολὺ φίλτατοϲ ὤλεθ' ἑταῖροϲ.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντεϲ
νωλεμὲϲ ἐγχρίμπτοντο καὶ ἀλλήλουϲ ἐνάριζον·
ὧδε δέ τιϲ εἴπεϲκεν Ἀχαιῶν χαλκοχιτώνων·
ὦ φίλοι, οὐ μὰν ἧμιν ἐυκλεὲϲ ἀπονέεϲθαι
νῆαϲ ἔπι γλαφυράϲ, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
πᾶϲι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
εἰ τοῦτον Τρώεϲϲι μεθήϲομεν ἱπποδάμοιϲιν
ἄϲτυ πότι ϲφέτερον ἐρύϲαι καὶ κῦδοϲ ἀρέϲθαι.
ὣϲ δέ τιϲ αὖ Τρώων μεγαθύμων αὐδήϲαϲκεν·
ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
πάνταϲ ὁμῶϲ, μή πώ τιϲ ἐρωείτω πολέμοιο.

---

V. ι. 403 γὰρ: γάρ ῥ' Harl. Vrat. A. Frgm. Mosc. γάρ ρ' C. γαρ ῥ' H conf. Ξ 30. ε 321. κ 242. φ 32. Annal. Gymn. Austr. 1871. pg. 506. — 404 ὑπὸ ACDGHL. τρῴων L. ὅ μιν A. τῶ μιν D. τὸ μὲν H. ἔλπετο. ACDEGHLS Ven. B. Mor. Cant. Harl. Townl. Frgm Mosc. Vrat. b. d. A. θυμὸν Vrat. d. — 405 τεθνάμεν ἂν H. ἐνὶ χριμφθέντα A. ἐνιχριφθέντα Vrat. b. ἐνιχριμφέντα E Vrat. d. πύλαιϲ H. — 406 ἤλπετο H: ceteri ἔλπετο. — 407 ἐκπέρϲαι D. — 408 τό γε: τόδε AS Cant. Vat. νόϲφιν: χωρὶϲ Cant. Vat. e glossa. — 410 γ' omitt. H. οὔ οἱ: οὔ τοι L. — 411 ὅτι DH. πολυφίλτατοϲ D. ἑταίρων L. — 412 οἳ δ' A. οἵδ' CD GHL. — 413 ἐγχρίπτοντο A. ἐχρίμπτοντο D Mor. Harl. Vat. Vrat. b. A. Lips. ἐνάριζεν H. — 414 εἴπιϲκεν G. — 415 οὐ μὰν CEHL Lips. Flor. Rom. Cram. Ep. 188, 9. Bachm. Anecd. II, 66, 17. οὐ μὴν Vat. οὐκ ἂν AS. οὐ μὲν DG. ἧμιν CDEG Cram. Ep. 188, 9. Bachm. Anecd II. 66, 17. ἡμῖν HLS Lips. Vrat. d. A. εὐκλεὲϲ DHL Lips. Vrat. d. A. ἐϋπλεὲϲ G. γράφουϲι μέν τινεϲ οὐ μὰν ἡμῖν εὐκλεέϲ Eust. 1112, 34. — 416 ἐπὶ ACDEGHL. — 417 ἧμιν CG. ἥμιν D. ἡμῖν AEHL. πολυκέρδιον D. — 418 ἢ τοῦτον G et olim vulgo: εἰ ACDEHL Cant. Harl. Vat. Frgm. Mosc. Vrat. b. d. τρῴεϲϲι L. ἱπποδάμοιϲι D. — 419 ποτὶ ACDGHL. ἐρῦϲαι ACD. ἐρύϲειν Harl. Vrat. b. A. — 420 ὣϲ δέ τιϲ ACDHL Cant. Harl. Vat. Lips. Townl. Frgm. Mosc. Vrat. b. d. A. ὧδε δέ τιϲ G Mor. — 422 μή πω τιϲ ADEGH. μή πω τῖϲ C. μή πωϲ L Lips. τῖϲ L.

---

A. c. 404—425 Ζηνόδοτοϲ οὐ γράφει Schol. V. — 415 et 417 ἧμιν conf. H. T. 275. — 420 Ἀρίϲταρχοϲ ἀθετεῖ Schol. V ad 404.

ὣϲ ἄρα τιϲ εἴπεϲκε, μένοϲ δ' ὄρϲαϲκεν ἑκάϲτου.
ὣϲ οἳ μὲν μάρναντο, ϲιδήρειοϲ δ' ὀρυμαγδὸϲ
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέροϲ ἀτρυγέτοιο·
ἵπποι δ' Αἰακίδαο μάχηϲ ἀπάνευθεν ἐόντεϲ
κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέϲθην ἡνιόχοιο
ἐν κονίῃϲι πεϲόντοϲ ὑφ' Ἕκτοροϲ ἀνδροφόνοιο.
ἦ μὰν Αὐτομέδων, Διώρεοϲ ἄλκιμοϲ υἱόϲ,
πολλὰ μὲν ἂρ μάϲτιγι θοῇ ἐπεμαίετο θείνων,
πολλὰ δὲ μειλιχίοιϲι προϲηύδα, πολλὰ δ' ἀρειῇ·
τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆαϲ ἐπὶ πλατὺν Ἑλλήϲποντον
ἠθελέτην ἰέναι οὔτ' ἐϲ πόλεμον μετ' Ἀχαιούϲ,
ἀλλ' ὥϲ τε ϲτήλη μένει ἔμπεδον, ἥ τ' ἐπὶ τύμβῳ
ἀνέροϲ ἑϲτήκῃ τεθνηότοϲ ἠὲ γυναικόϲ,
ὣϲ μένον ἀϲφαλέωϲ περικαλλέα δίφρον ἔχοντεϲ,
οὔδει ἐνιϲκίμψαντε καρήατα· δάκρυα δέ ϲφι
θερμὰ κατὰ βλεφάρων χαμάδιϲ ῥέε μυρομένοιϲιν
ἡνιόχοιο πόθῳ· θαλερὴ δὲ μιαίνετο χαίτη
ζεύγληϲ ἐξεριποῦϲα παρὰ ζυγὸν ἀμφοτέρωθεν.
μυρομένω δ' ἄρα τώ γε ἰδὼν ἐλέηϲε Κρονίων,
κινήϲαϲ δὲ κάρη προτὶ ὃν μυθήϲατο θυμόν·
ἆ δειλώ, τί ϲφῶι δόμεν Πηλῆϊ ἄνακτι
θνητῷ, ὑμεῖϲ δ' ἐϲτὸν ἀγήρω τ' ἀθανάτω τε.
ἦ ἵνα δυϲτήνοιϲι μετ' ἀνδράϲιν ἄλγε' ἔχητον;

V. l. 423 τίϲ τ' AS. τῖϲ C. ὤρϲαϲκεν CLS Townl. ἑκάϲτου ADGH LS et Heynii libri. ἕκαϲτοϲ C. vulgo ἑταίρου cum ed. Rom. — 424 ϲιδήρεοϲ L. ὀρυγμαδὸϲ CGH. — 425 ἵκε C. — 427 ἐπειδὴ libri. — 429 αὐτομέδων γε AS Cant. Vrat. A. male, conf. 474. — 431 προϲηῦδα D: κελεύων Apoll. Soph. 42, 16. — 434 omitt. H in textu, habet in marg. man. rec. — 435 ἑϲτήκει ADHLS Cant. Mor. Lips. Vat. Vrat. b. d. Schol. α 1. εἱϲτήκει CEG. correxit G. Hermannus. τεθνηότοϲ AGHS. τεθνηότοϲ L. τεθνειότοϲ CE τεθνειῶτοϲ D Vrat. A. Schol. α 1. — 436 ἔχοντε CS Cant. Townl Frgm. Mosc. Vrat. b. d. quod non displicet. — 437 ἐνιϲκίμψαντε CE 1114, 20 H Vat. Harl. Rom. ἐνὶ ϲκίμψαντε Townl. ἐνιϲκίψαντε L Eust. 1114, 21. Frgm. Mosc. man. sec. ἔνι ϲκίψαντε AS. ἔνι ϲκήψαντε Vrat. A. ἐνιϲκήψαντε G Flor. Philemo gramm. 90, 134. ἐνιϲκίμψαντεϲ Vrat. d. ἐνιϲκήψαντεϲ D. ἐνιϲκήψαντε ἢ ἐνιϲκίμψαντε Eust. 1113, 19. — 438 μυρομένοιϊν HS Cant. Vrat. d. A. — 439 ποθῇ G Cant. Flor. δ' ἐμαίνετο HL Cant. — 440 ἀμφοτέρωθεν AS Cant. Harl. Vat. ἀμφοτέρωϲε HL Townl. Vrat. d. ἀμφοτέροϲε D. ἀμφοτέροιϲι CG et olim vulgo. ἀμφοτέροιϲιν ἢ ἀμφοτέρωθεν Eust. — 441 μυρομένῳ G. μυρομένουϲ δ' ὧδ' ἄρα τούϲγε Townl. — 442 ποτὶ AS Cant. πρὸ τὶ HL. — 445 ἢ D. ἔχητε L Lips. ἔχοιτον A.

A. c. 435 ἑϲτήκῃ conf. ad Δ 483. — 439 ποθῇ ut Iliadis proprium recepit Bekkerus, idem δ' ἐμιαίνετο.

οὐ μὲν γάρ τί πού ἐϲτιν ὀιζυρώτερον ἀνδρὸϲ
πάντων, ὅϲϲά τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμαϲι δαιδαλέοιϲιν
Ἕκτωρ Πριαμίδηϲ ἐποχήϲεται· οὐ γὰρ ἐάϲω.
ἦ οὐχ ἅλιϲ ὡϲ καὶ τεύχε' ἔχει καὶ ἐπεύχεται αὔτωϲ;
ϲφῶιν δ' ἐν γούνεϲϲι βαλῶ μένοϲ ἠδ' ἐνὶ θυμῷ,
ὄφρα καὶ Αὐτομέδοντα ϲαώϲετον ἐκ πολέμοιο
νῆαϲ ἔπι γλαφυράϲ· ἔτι γάρ ϲφιϲι κῦδοϲ ὀρέξω,
κτείνειν, εἰϲ ὅ κε νῆαϲ ἐϋϲϲέλμουϲ ἀφίκωνται
δύῃ τ' ἠέλιοϲ καὶ ἐπὶ κνέφαϲ ἱερὸν ἔλθῃ.
ὣϲ εἰπὼν ἵπποιϲιν ἐνέπνευϲεν μένοϲ ἠύ.
τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδαϲ δὲ βαλόντε
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶαϲ καὶ Ἀχαιούϲ.
τοῖϲι δ' ἐπ' Αὐτομέδων μάχετ' ἀχνύμενόϲ περ ἑταίρου,
ἵπποιϲ ἀίϲϲων ὥϲ τ' αἰγυπιὸϲ μετὰ χῆναϲ·
ῥέα μὲν γὰρ φεύγεϲκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
ῥεῖα δ' ἐπαΐξαϲκε πολὺν καθ' ὅμιλον ὀπάζων.
ἀλλ' οὐχ ᾕρει φῶταϲ, ὅτε ϲεύαιτο διώκειν·
οὐ γάρ πωϲ ἦν οἶον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ

V. L. 446 τι που ἐϲτὶν AL. τί που ἐϲτὶν DG. τι ποῦ ἐϲτϊν H. τί ποτ' ἐϲτὶν Plat. Axioch. 367 D. Stobaeus Flor. 98, 51 et 75. ὀϊζυρότερον H Vrat. d. — 447 ὅϲϲά τε CEH. ὅϲα D. ἔπι πνείει A. ἐπιπνείει CDEGHL Plat. Axioch. 367 D. Stob. Flor. 98, 51 et 75. Pseudoplut. 71, 10. Schol. X 431. Plutarchus de Amore prolis 3. Schol. Soph. Trach. 1162. — 448 γε omitt. L. — 449 ἐπωιχήϲεται A. ἐάϲϲω Vrat. A. — 450 ἣ ACDEGH. Apoll. Soph. 170, 14. idem ἀγάλλεται pro ἐπεύχεται. ἔχῃ Vrat. A. αὕτωϲ AEGH Apoll. Soph. — 451 γούναϲϲι G: ceteri γούνεϲϲι. βάλω Frgm. Mosc. ἣ δ' D. — 453 ἐπὶ ACDGHL ἀνὰ Vat. γάρ ϲφιν L Lips. — 454 εἰϲ ὅ κεν D: ceteri εἰϲόκε. εὐϲέλμουϲ D. εὐϲϲέλμουϲ H. — 455 omitt. C 1. man. Vat. ἐπι HL. ἔλθοι HS Vrat. d. — 456 ἐνέπνευϲε DG. ἐπέπνευϲε Vrat. A. — 457 οὗδαϲδε AC. οὖδαϲδε D. vulgo οὖδάϲδε. — 458 τρῷαϲ L. — 459 αὐτομέδων μεταχνύμενοϲ L Lips. — 460 μετα H. — 461 ῥέα DH Mor. Barocc. ῥεῖα ACEGL Vrat. A. ὑπ' ἐκ ADEGL. τρῴων L. ὀρυγμαδοῦ CGH. — 462 ἐπαΐξεϲκε CH. — 463 ὅτε ϲεύαιτο A. ὅτ' ἐϲϲεύαιτο S Cant. ὅτ' ἐϲϲεύετο GHL Mor. Townl. Vrat. b. d. A. Flor. ὅτ' ἐϲϲεύατο Frgm. Mosc. Vat. ὅτ' ἐϲϲεύοντο C. ὅτ' ἐπεϲϲεύετο D, conf. Ψ 198. — 464 οἷον D. οἷον θ' ἱερῶι A. ἰόνθ' G Flor.

A. c. 456 ἐνέπνευϲεν μένοϲ ἠύ Aristarchus: μένοϲ πολυθαρϲὲϲ ἐνῆκεν Zenodotus, qui addit αὐτὸϲ δ' Οὔλυμπον δὲ μετ' ἀθανάτοιϲι βεβήκει Schol. V. cf. Schol. 545. μετ' ἀθανάτοιϲι βεβήκει a consuetudine poëtae abhorret, conf. Α 221 Οὔλυμπον δὲ βεβήκει μετὰ δαίμοναϲ ἄλλουϲ. Α 423. Ο 54. 161. 177. γ 366. δ 258. ζ 54. θ 294. 456. itaque corrigendum est μετ' ἀθανάτουϲ ἐβεβήκει.

ἔγχει ἐφορμᾶcθαι καὶ ἐπίcχειν ὠκέας ἵππουc.
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖcιν
Ἀλκιμέδων, υἱὸc Λαέρκεος Αἱμονίδαο·
cτῆ δ' ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προcηύδα·
Αὐτόμεδον, τίc τοί νυ θεῶν νηκερδέα βουλὴν
ἐν cτήθεccιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐcθλάς;
οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
μοῦνοc· ἀτάρ τοι ἑταῖροc ἀπέκτατο, τεύχεα δ' Ἕκτωρ
αὐτὸc ἔχων ὤμοιcιν ἀγάλλεται Αἰακίδαο.
τὸν δ' αὖτ' Αὐτομέδων προcέφη, Διώρεος υἱόc·
Ἀλκίμεδον, τίc γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆcίν τε μένος τε,
εἰ μὴ Πάτροκλοc, θεόφιν μήcτωρ ἀτάλαντος,
ζωὸc ἐών; νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ cὺ μὲν μάcτιγα καὶ ἡνία cιγαλόεντα
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήcομαι, ὄφρα μάχωμαι.
ὣc ἔφατ', Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούcαc
καρπαλίμωc μάcτιγα καὶ ἡνία λάζετο χερcίν,
Αὐτομέδων δ' ἀπόρουcε. νόηcε δὲ φαίδιμος Ἕκτωρ,
αὐτίκα δ' Αἰνείαν προcεφώνεεν ἐγγὺc ἐόντα·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
ἵππω τώδ' ἐνόηcα ποδώκεος Αἰακίδαο
ἐc πόλεμον προφανέντε cὺν ἡνιόχοιcι κακοῖcι.
τῶ κεν ἐελποίμην αἱρηcέμεν, εἰ cύ γε θυμῷ
cῷ ἐθέλειc, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶι
τλαῖεν ἐναντίβιον cτάντεc μαχέcαcθαι ἄρηι.

V. L. 465 ἔγχεϊ C. ἐπιcχνεῖν G. ἐπιcχεῖν Vrat. A. — 467 αἱμονίδαο AHLS Cant. αἰμονίδαο DG. ἁρμονίδαο C Townl. Frgm. Mosc. — 468 ὄπιcθεν D. ὄπιθε Lips. προcηῦδα D. — 469 τοι νῦν H. — 470 ἐνὶ cτήθεccιν A. cτήθεccι τέθεικε D. — 471 τρῷας L. μάχεcθαι L Lips. 1. man. — 473 ὤμοιϊν Vrat. A. — 474 αὖτ' omitt. A. διώρεωc G. — 475 τίc τ' ἄρ Townl. — 476 δμῆcίν G. — 478 νῦν αὖ ACGHL Barocc. Lips. Mor. Townl. Frgm. Mosc. Vrat. A. νῦν δ' αὖ DS. κιχάνει: κάλυψεν CDH Mor. Vrat d. A. — 480 ἀποβήcομαι: ἐπιβήcομαι AS conf. Ε 227. — 481 βοηθόον: βοῆ θοὸν AS Vrat. A., conf. Ν 477. — 485 τρῴων L. — 487 κακοῖcι ACDGH. — 488 τῶ CDGL. τῷ AH. τώ κεν (ἤγουν οὕc κεν) ES Rom. — 489 ἐθέλοιc CHS Frgm. Mosc. ἐθέλειc[οι] A, conf. Ψ 894. ἐπεὶ οὔτιν' D. νῶϊν DG Flor.

A. c. 465 ἐπίcχειν Herodianus cum Aristarcho: ἐπιcχεῖν Ptolem. Ascalonita. — 481 βοηθόον Aristarchus: βοῆ θοόν, οἱ ἀπὸ τῆc cχολῆc Schol. V.

ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθηcεν ἐὺς πάις Ἀγχίcαο.
τὼ δ᾽ ἰθὺς βήτην βοέῃς εἰλυμένω ὤμους,
αὔῃcι cτερεῇcι· πολὺς θ᾽ ἐπελήλατο χαλκός.
τοῖcι δ᾽ ἅμα Χρομίος τε καὶ Ἄρητος θεοειδὴς
ἤιcαν ἀμφότεροι· μάλα δέ cφιcιν ἔλπετο θυμὸς
αὐτώ τε κτενέειν ἐλάαν τ᾽ ἐριαύχενας ἵππους·
νήπιοι, οὐδ᾽ ἄρ᾽ ἔμελλον ἀναιμωτί γε νέεcθαι
αὖτις ἀπ᾽ Αὐτομέδοντος. ὃ δ᾽ εὐξάμενος Διὶ πατρὶ
ἀλκῆς καὶ cθένεος πλῆτο φρένας ἀμφιμελαίνας.
αὐτίκα δ᾽ Ἀλκιμέδοντα προcηύδα, πιcτὸν ἑταῖρον·
Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰcχέμεν ἵππους,
ἀλλὰ μάλ᾽ ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος cχήcεcθαι ὀίω,
πρίν γ᾽ ἐπ᾽ Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
νῶι κατακτείναντα, φοβῆcαί τε cτίχας ἀνδρῶν
Ἀργείων, ἤ κ᾽ αὐτὸς ἐνὶ πρώτοιcιν ἁλώῃ.
ὣς εἰπὼν Αἴαντε καλέccατο καὶ Μενέλαον·
Αἴαντ᾽, Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
ἤ τοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ᾽ οἵ περ ἄριcτοι,
ἀμφ᾽ αὐτῷ βεβάμεν καὶ ἀμύνεcθαι cτίχας ἀνδρῶν,
νῶιν δὲ ζωοῖcιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῇδε γὰρ ἔβριcαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείας θ᾽, οἳ Τρώων εἰcὶν ἄριcτοι.
ἀλλ᾽ ἤ τοι μὲν ταῦτα θεῶν ἐν γούναcι κεῖται·

V. l. 491 πάϊς: παῖς H — 492 εἰλημμένῳ G. — 493 cτερεοῖcι Lips. — 494 χρόμιός ACDGHL. — 495 ἔλπετο DEGL Lips. Mor. Vrat. b. ἤλπετο ACHS. — 496 ἐλάαν: ἐλέειν H Vrat. d. — 497 ἂρ ADGHL. — 498 αὖθϊς CD. ἔπ᾽ (α supra ε) D. ὅδ᾽ ACDGHL. πατρὴ G. — 500 προcηῦδα D. — 501 ἀλκιμέδον A. ἵππω CH Harl. Townl. Frgm. Mosc. Vrat. A. — 502 μεταφρένῳ (ον supra) H. μετάφρενον ἢ μεταφρένῳ Eust. 1116, 12. — 503 cχήcαcθαι Barocc. μάχης cχήcεcθαι C. — 504 πρίν κ᾽ A. ἀχϊλῆος C. — 505 φοβήcαι δὲ G. — 505—510 omitt. Vrat. A. — 506 ἁλώιη A. ἁλῴη E. ἁλώη CDGS et olim vulgo. ἁλώην H. ἐνὶ τρώεccιν ἀλοίη Lips. ἁλοίη (ω supra) L. ἁλοίη Harl. — 509 ἤτοι libri. ὅccοι ἄριcτοι CG Flor. ὅcοι D. — 510 ἀμύναcθαι C Cant. Mor. — 511 νῶϊ D. δὲ: δ᾽ ἐν A. ἀμύνατε Mor. Barocc. ἦμαρ D. — 512 κατὰ ADEGL. κατα H. καταδακρυόεντα C. — 513 ἕκτωρ τ᾽ C. τρῴων L.

A. c. 494 Χρομίος veteres, conf. H. T. 399. — 495 ἔλπετο, conf. 234. 395. 404.

ἥcω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήcει.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόcκιον ἔγχοc,
καὶ βάλεν Ἀρήτοιο κατ' ἀcπίδα πάντοc' ἐίcην·
ἣ δ' οὐκ ἔγχοc ἔρυτο, διὰ πρὸ δὲ εἴcατο χαλκόc,
νειαίρῃ δ' ἐν γαcτρὶ διὰ ζωcτῆροc ἔλαccεν.
ὡc δ' ὅτ' ἂν ὀξὺν ἔχων πέλεκυν αἰζήιοc ἀνήρ,
κόψαc ἐξόπιθεν κεράων βοὸc ἀγραύλοιο,
ἶνα τάμῃ διὰ πᾶcαν, ὃ δὲ προθορὼν ἐρίπῃcιν,
ὣc ἄρ' ὅ γε προθορὼν πέcεν ὕπτιοc· ἐν δέ οἱ ἔγχοc
νηδυίοιcι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντοc ἀκόντιcε δουρὶ φαεινῷ·
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχοc·
πρόccω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνιcκίμφθη, ἐπὶ δ' οὐρίαχοc πελεμίχθη
ἔγχεοc· ἔνθα δ' ἔπειτ' ἀφίει μένοc ὄβριμοc Ἄρηc.
καί νύ κε δὴ ξιφέεcc' αὐτοcχεδὸν ὁρμηθήτην,
εἰ μή cφω' Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ' ἦλθον καθ' ὅμιλον ἑταίρου κικλήcκοντοc.
τοὺc ὑποταρβήcαντεc ἐχώρηcαν πάλιν αὖτιc

V. L. 515 διὶ: θεῷ E. μελήcῃ C. — 516 ῥὰ ACDGHL. — 517 παντόcε ἴcην ADLS Lips. Vrat. A. — 518 ἦδ' CDGHL. δϊὰ πρὸ H. δϊαπρο C: ceteri διαπρὸ. δεείcατο καὶ τῆc C. — 519 δϊα H. ἔλαcεν D. — 520 ὅταν ACDE (om. δ') GL Eust. 1001, 29. αἰζηὸc AG Flor. αἰζη||όc D. — 521 ἐξόπιcθε D. ἐξόπιcθεν Lips. — 522 ἵνα τάμῃ G. τάμεν Et. Mg 471, 15. δϊα CH. ὃ δὲ C. προθορῶν ἐρύπηcιν L. ἐρίπηιcι D. — 523 ἆρ AD GH. προθορῶν L. — 524 νηδύι D. νηδύοιcι L Lips. Vrat. A. Flor. λῦε DG. λῦcε E. λύcε Vrat. d. — 525 δ' omitt. L. — 526 ὃ μὲν C. ἀλεύατο D. — 527 ἐξόπιcθεν G Lips. Flor. Rom. ἐξόπιcθε D. — 528 ἐνιcκήμφη C. ἐνιcκήφθη Vrat. A, conf. 437. ἐπϊ H. — 529 ὄμβριμοc CD Lips. — 530 ξιφέεc' D. ξίφεc' A. ὁρμηθήτην A Vrat. d. ὡρμήθηcαν H et supra γρ. οὐτάζοντο. ceteri ὡρμηθήτην, conf. Ε 12. — 531 cφω': cφω CGLS. μὴ cφώ A. cφώ D. cφῶ H Vrat. d. cφῶ' Frgm. Mosc. διέκρινον Schol. Κ 546. μεμαῶτε ACDGLS: μεμαῶταc H Vrat. d. — 522 οἵδ' Vrat. A. — 533 ἐχώριcαν D. αὖθϊc C.

A. c. 530 in editionibus inde a Florentina legebatur ὡρμηθήτην, quod Wolfius correxit in ὁρμηθήτην, iure, nam hae formae dualis augmento solent carere, conf. ἀψάcθην Κ 377. ἀιχθήτην Ω 97. ἀειρέcθην Ψ 501. ἀπειλήτην λ 318. ἀρνύcθην Χ 160. προcαυδήτην Λ 136. Χ 90. cυναντέcθην Η 22 cυναντήτην π 333. ἱκέcθην Λ 328. Ι 185. Ψ 215. β 150. κ 117. (exc. Ξ 283). ἵκεcθον Θ 456. ἰδέτην β 152. φ 222. ἐcιδέcθην ω 101. ἀφέτην Λ 642. ἴτην Ζ 120. Π 476. Υ 159. Ψ 814. φ 244. ἑλέτην Ε 576. Η 8. Λ 328. χ 187. ἐχέτην Ε 569. C 580. ἀγέτην γ 439. ἐπέcθην Ε 571. ἐίκτην Α 104. Φ 285. Ψ 379. δ 662. excipiuntur ἠθελέτην Κ 228. Ρ 433. ἠθέλετον Λ 782. ὠρχείcθην θ 378, quod cum cod. Q ὀρχείcθην scribi oportet.

Ἕκτωρ Αἰνείας τ᾽ ἠδὲ Χρομίος θεοειδής,
Ἄρητον δὲ κατ᾽ αὖθι λίπον δεδαϊγμένον ἦτορ,
κείμενον· Αὐτομέδων δέ, θοῷ ἀτάλαντος Ἄρηι,
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
κῆρ ἄχεος μεθέηκα χερείονά περ καταπέφνων.
ὣς εἰπὼν ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα
θῆκ᾽, ἂν δ᾽ αὐτὸς ἔβαινε πόδας καὶ χεῖρας ὕπερθεν
αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
ἂψ δ᾽ ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη
ἀργαλέη πολύδακρυς, ἔγειρε δὲ νεῖκος Ἀθήνη
οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεὺς
ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ᾽ αὐτοῦ.
ἠύτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο
ἢ καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε ἔργων
ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,
ὣς ἡ πορφυρέῃ νεφέλῃ πυκάσασα ἓ αὐτὴν
δύσετ᾽ Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
πρῶτον δ᾽ Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα
ἴφθιμον Μενέλαον, ὃ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·

---

V. l. 534 omitt. D in textu, habet in marg. man. rec. ἕκτωρ τ᾽ Barocc. Vat. Frgm. Mosc. τ᾽ ἠδὲ omnes. χρόμιος CDGL. — 535 ἄρκτον A. ἄρρητον Lips. δέ κε Et. Mg. 140, 37. καταῦθι A. καταῦθι D. ἦτορ D. — 538 ὀλίγον τι Vrat. b. A. θανόντος: δαμέντος Harl. — 541 ἂν G. ἀνὰ D Mor. Vat. Townl. Vrat. d Frgm. Mosc. ἀνα H. ὕπερθε D. — 542 ὥς D. κατα CDH. — 547 τανύσσει CE: ceteri τανύσσῃ cum Cram. An. Par. III, 14, 18. — 548 ἐξουρανόθεν A. — 549 δυσταρπέος A. — 550 δὲ ἔπαυσεν Schol. Theocr. IV, 10. — 551 ἣ CDGHL. omitt. A. πυκάσασά Apoll. de Synt. 140, 8. πυκάσασάν Apoll. de Pron. 102 C. ἓ αὐτὴν L Lips. Mor. Flor. Schol. I 342. ἑ αὐτήν Apoll. de Pron. 102 C. de Synt. 140, 8. ἑαυτὴν ACDGH Townl. Vrat. A. Frgm. Mosc. Flor. Rom. Schol. Θ 122. ἑαυτὴν ἢ μᾶλλον ἓ αὐτήν Eust. — 552 δύσσετ᾽ L. — 553 ἀτρέως Vrat. d. ἐποτρύνουσα ACDHS Cant. Barocc. Mor. Vat. Frgm. Mosc. Vrat. b. d. A. ἐποτρύνασα GL Lips. Flor. — 554 ὃ ACDGHL.

---

A. c. 531 σφω᾽ Herodianus ad K 546 et Apollonius Dysc. de Pron. 113 C. — 534 τ᾽ ἠδὲ: fortasse scriptum erat τε ἰδὲ, quod Δ 147. Ζ 479. Θ 162. Κ 573. Μ 311. Φ 351. Χ 469. δ 604. λ 337. ς 249. ψ 289 omnes fere libri exhibent. cf. etiam Β 697. Δ 382. — 539 καταπέφνων Aristarchus, conf. Schol. Π 827. H. T. 341. — 545 Ζηνόδοτος ἀθετεῖ· τινὲς οὐδὲ γράφουσι Schol. V. — 551 ἓ αὐτὴν Herodianus ad I 342: ἑωυτήν Zenodotus, conf. Schol. Ξ 162. H. T. 252.

coì μὲν δὴ Μενέλαε κατηφείη καὶ ὄνειδοc
ἔccεται, εἴ κ' Ἀχιλῆοc ἀγαυοῦ πιcτὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέεc κύνεc ἑλκήcωcιν.
ἀλλ' ἔχεο κρατερῶc, ὄτρυνε δὲ λαὸν ἅπαντα.
τὴν δ' αὖτε προcέειπε βοὴν ἀγαθὸc Μενέλαοc·
Φοῖνιξ, ἄττα γεραιὲ παλαιγενέc, εἰ γὰρ Ἀθήνη
δοίη κάρτοc ἐμοί, βελέων δ' ἀπερύκοι ἐρωήν·
τῶ κεν ἐγώ γ' ἐθέλοιμι παρεcτάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐcεμάccατο θυμόν·
ἀλλ' Ἕκτωρ πυρὸc αἰνὸν ἔχει μένοc, οὐδ' ἀπολήγει
χαλκῷ δηιόων· τῷ γὰρ Ζεὺc κῦδοc ὀπάζει.
ὣc φάτο, γήθηcεν δὲ θεὰ γλαυκῶπιc Ἀθήνη,
ὅττί ῥά οἱ πάμπρωτα θεῶν ἠρήcατο πάντων.
ἐν δὲ βίην ὤμοιcι καὶ ἐν γούνεccιν ἔθηκε,
καί οἱ μυίηc θάρcοc ἐνὶ cτήθεccιν ἐνῆκεν,
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸc ἀνδρομέοιο
ἰcχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμ' ἀνθρώπου·
τοίου μιν θάρcευc πλῆcε φρέναc ἀμφιμελαίναc.
βῆ δ' ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντιcε δουρὶ φαεινῷ.
ἔcκε δ' ἐνὶ Τρώεccι Ποδῆc, υἱὸc Ἠετίωνοc,

V. L. 557 ἀχιλλῆοc D. — 558 τείχη Barroc. Mor. ὑπὸ CDGHL Barocc. Mor. τρῴων L. ἑλκύcουcιν AGS Cant. Mor. Townl. Vrat. d. A. Flor. ἑλκύccουcιν L. ἑλκήcουcιν CDH Vrat. b. Frgm. Mosc. ἑλκήcωcι Harl. — 559 ἀλλ' ἔρχεο A. ὤτρυνε G. — 560 ἀγαθὸc διομήδηc Barocc. Mor. — 561 φοίνιξ L. γεραιὲ διογενὲc Vat. διοτρεφὲc Vrat. A. — 562 ἀπερύκει Lips. — 563 τῶ CDL: τῷ AEGH. παριcτάμεναι Vrat. A. — 564 ἐcεβάccατο D. ἐπεβάccατο AS. ἐcεμάccετο H 1. man. Barocc. Townl. Frgm. Mosc. ἐcεμάcετο Vrat. d. ἐπεμάccατο Cant. 1. man. — 569 γούνα-cïν C. γούναccιν DGH et olim vulgo. γούνεcιν Flor. γούνεccιν ALS Cant. Lips. Frgm. Mosc. ἔθηκε ACDEG. — 570 μυίαc C. ἐνῆκεν ACGHS. ἐνῆκε D. ἔθηκεν L Barocc. Mor. Vrat. A. Schol. Є 2. ἔθηκε Lips. in marg. Pseudoplut. 122, 33. ἐνῆκεν ἢ ἔθηκεν Eust. — 571 εἰργομένη GL. ἐεργομένη Frgm. Mosc. an ἢ καὶ ἐεργομένη? ἀνδρομέδοιο D. — 572 λα-ρότατον L. λαρὸν δέ οἱ E. — 573 θάρcουc CE edd. vett. πλῆcε EL: πλῆcεν ACDGH Schol. O 4. Bekk. Anecd. 1209. φέναc C. ἀμφὶ μελαί-ναc CL. — 575 ἔcκε δ' ἐνὶ: ἦν δέ τιc ἐν Harl. Athenaeus VI, 236. τρῴεccι L.

A. c. 558 scripsi cum Heynio ἑλκήcωcιν, nam εἴ κε apud Homerum cum indicativo futuri nusquam iungitur, conf. Υ 181. (311). ρ 80. ο 524. — 564 ἐcεμάccατο, conf. Υ 425. — 573 θάρcευc: conf. Θ 368. λ 37. η 118. Hesiod. Op. 502. ο 533. ω 394. 398. [Ι 106. Ν 424]. Hesiod. Scut. 334. 460. Theocr. VII, 2; 46. Alcaeus Frgm. 15, 4. Hipponax Frgm. 19, 2. Nicandr. Ther. 2. 17. 592. Alexiph. 321. 366. 375. 511.

ἀφνειός τ᾽ ἀγαθός τε· μάλιϲτα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖροϲ ἔην φίλοϲ εἰλαπιναϲτήϲ·
τόν ῥα κατὰ ζωϲτῆρα ῎βάλε ξανθὸϲ Μενέλαοϲ
ἀΐξαντα φόβον δέ, διὰ πρὸ δὲ χαλκὸν ἔλαϲϲε·
δούπηϲεν δὲ πεϲών. ἀτὰρ Ἀτρείδηϲ Μενέλαοϲ
νεκρὸν ὑπ᾽ ἐκ Τρώων ἔρυϲεν μετὰ ἔθνοϲ ἑταίρων.
Ἕκτορα δ᾽ ἐγγύθεν ἱϲτάμενοϲ ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀϲιάδῃ ἐναλίγκιοϲ, ὅϲ οἱ ἁπάντων
ξείνων φίλτατοϲ ἔϲκεν, Ἀβυδόθι οἰκία ναίων·
[τῷ μιν ἐειϲάμενοϲ προϲέφη ἑκάεργοϲ Ἀπόλλων]
Ἕκτορ, τίϲ κέ ϲ᾽ ἔτ᾽ ἄλλοϲ Ἀχαιῶν ταρβήϲειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεϲαϲ, ὃϲ τὸ πάροϲ περ
μαλθακὸϲ αἰχμητήϲ· νῦν δ᾽ οἴχεται οἶοϲ ἀείραϲ
νεκρὸν ὑπ᾽ ἐκ Τρώων, ϲὸν δ᾽ ἔκτανε πιϲτὸν ἑταῖρον,
ἐϲθλὸν ἐνὶ προμάχοιϲι, Ποδῆν, υἱὸν Ἠετίωνοϲ.
ὣϲ φάτο, τὸν δ᾽ ἄχεοϲ νεφέλη ἐκάλυψε μέλαινα,
βῆ δὲ διὰ προμάχων κεκορυθμένοϲ αἴθοπι χαλκῷ.
καὶ τότ᾽ ἄρα Κρονίδηϲ ἕλετ᾽ αἰγίδα θυϲϲανόεϲϲαν
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεϲϲι κάλυψεν,
ἀϲτράψαϲ δὲ μάλα μεγάλ᾽ ἔκτυπε, τὴν δὲ τίναξε·
νίκην δὲ Τρώεϲϲι δίδου, ἐφόβηϲε δ᾽ Ἀχαιούϲ.
πρῶτοϲ Πηνέλεωϲ Βοιώτιοϲ ἦρχε φόβοιο.
βλῆτο γὰρ ὦμον δουρὶ πρόϲω τετραμμένοϲ αἰεί,
ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀϲτέον ἄχριϲ

ου
V. L. 576 τε omitt. A. τῖεν G. — 577 δήμω D, ου 2. man. — 578 τὸν ῥὰ DL. κατα G. ζωϲτῆρ᾽ ἔβαλε H Vrat. d. — 579 φόβον δὲ A. διὰ πρὸ G. δϊὰπρο C ceteri διαπρὸ. ἔλαϲϲε ACH. ἔλαϲε DG. — 580 δού-πηϲε D. — 581 ὑπ᾽ ἐκ ACDGHL. τρῴων L. ἔρυϲε D. — 583 ἀϲϲιάδῃ L. — 584 οἰκίαι A. — 585 omitt. AC 1. man. Frgm. Mosc. Townl. 1. man. προϲέφη διὸϲ υἱὸϲ ἀπόλλων H Vrat. d. — 586 ἕκτωρ Vrat. d. τίϲ κέν ϲ᾽ ἄλλοϲ H. — 587 ὑπέτρεϲϲαϲ H. τοπάροϲ L. πάροϲ γε A, conf. N 465. O 256. — 589 ὑπ᾽ ἐκ ACDGHL. τρῴων L. — 590 ἐνι A. προμάχοιϲιν G. ποδὴν C. — 591 ὡϲ A. ἄχεοϲ μεγάλη ἐκάλυψεν ἀχλύϲ C. — 592 δια AH. — 593 θυϲανόεϲϲαν DEGS Lips. Flor. Rom. — 594 κατα ACDG HL. — 595 * δὲ τίναξε: δ᾽ ἐτίναξε ACDG. — 596 τρῴεϲϲι L. φόβηϲε H. — 597 πρῶτοϲ δὲ D. ἤρχε ACDEHL Harl. Townl. Frgm. Mosc. Vrat. A. ἦρξε GS Flor. — 598 πρόϲϲω C Vrat. A. — 599 ἐπὶ λίγδην D. ἐπιλλίγδην S Caut. γράψε DE Et. Mg. 361, 50.

A. c. 582 Zenodotus Ἕκτορα δὲ φρένα δῖοϲ (θοῦροϲ?) Ἄρηϲ ὄτρυνε μετελθών Aristonicus. — 590 υἱὸν: υἷ᾽ Bentleius ex coni. — 595 τὴν: γῆν Zenodotus.

αἰχμὴ Πουλυδάμαντοϲ· ὃ γάρ ῥ᾿ ἔβαλε ϲχεδὸν ἐλθών.
Λήιτον αὖθ᾿ Ἕκτωρ ϲχεδὸν οὔταϲε χεῖρ᾿ ἐπὶ καρπῷ,
υἱὸν Ἀλεκτρυόνοϲ μεγαθύμου, παῦϲε δὲ χάρμηϲ·
τρέϲϲε δὲ παπτήναϲ, ἐπεὶ οὐκέτι ἔλπετο θυμῷ
ἔγχοϲ ἔχων ἐν χειρὶ μαχήϲεϲθαι Τρώεϲϲιν.
Ἕκτορα δ᾿ Ἰδομενεὺϲ μετὰ Λήιτον ὁρμηθέντα
βεβλήκει θώρηκα κατὰ ϲτῆθοϲ παρὰ μαζόν·
ἐν καυλῷ δ᾿ ἐάγη δολιχὸν δόρυ, τοὶ δὲ βόηϲαν
Τρῶεϲ. ὃ δ᾿ Ἰδομενῆοϲ ἀκόντιϲε Δευκαλίδαο
δίφρῳ ἐφεϲταότοϲ· τοῦ μέν ῥ᾿ ἀπὸ τυτθὸν ἅμαρτεν·
αὐτὰρ ὃ Μηριόναο ὀπάονά θ᾿ ἡνίοχόν τε,
Κοίρανον, ὅϲ ῥ᾿ ἐκ Λύκτου ἐυκτιμένηϲ ἕπετ᾿ αὐτῷ·
πεζὸϲ γὰρ τὰ πρῶτα λιπὼν νέαϲ ἀμφιελίϲϲαϲ
ἤλυθε, καί κε Τρωϲὶ μέγα κράτοϲ ἐγγυάλιξεν,
εἰ μὴ Κοίρανοϲ ὦκα ποδώκεαϲ ἤλαϲεν ἵππουϲ·
καὶ τῷ μὲν φάοϲ ἦλθεν, ἄμυνε δὲ νηλεὲϲ ἦμαρ,
αὐτὸϲ δ᾿ ὤλεϲε θυμὸν ὑφ᾿ Ἕκτοροϲ ἀνδροφόνοιο.
τὸν βάλ᾿ ὑπὸ γναθμοῖο καὶ οὔατοϲ, ἐκ δ᾿ ἄρ᾿ ὀδόνταϲ
ὦϲε δόρυ πρυμνόν, διὰ δὲ γλῶϲϲαν τάμε μέϲϲην.
ἤριπε δ᾿ ἐξ ὀχέων, κατὰ δ᾿ ἡνία χεῦεν ἔραζε.
καὶ τά γε Μηριόνηϲ ἔλαβεν χείρεϲϲι φίληϲι
κύψαϲ ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προϲηύδα·
μάϲτιε νῦν, εἵωϲ κε θοὰϲ ἐπὶ νῆαϲ ἵκηαι·
γιγνώϲκειϲ δὲ καὶ αὐτὸϲ ὅ τ᾿ οὐκέτι κάρτοϲ Ἀχαιῶν.
ὣϲ ἔφατ᾿, Ἰδομενεὺϲ δ᾿ ἵμαϲεν καλλίτριχαϲ ἵππουϲ

V. L. 600 δ ACDE 1120, 11 HL. ῥ᾿ omitt. Harl. Vrat. A. Flor. ἔβαλεν C. ϲχεδόθεν G Flor. — 601 δ᾿ αὖθ᾿ C. — 603 παπτήναϲ CDG. οὐκ ἔτι L. οὐκέτ᾿ D. ἔλπετο ACDHL Lips. Townl. Vrat b. d. A. Rom. ἤλπετο GS Flor. — 604 ἕλκοϲ ἔχων Cant. μαχέϲϲαϲθαι L. μαχήϲαϲθαι Barocc. τρῴεϲϲιν L. — 606 κατα H. — 607 δὲ ἄγη E. τὸ δὲ ἐάγη δύναται καὶ διϲυλλάβωϲ ἐνταῦθα γραφῆναι Eust. 1120, 18. δ᾿ ἐφόβηθεν DG LS Cant. Mor. Harl. Vrat. A. Flor. ceteri δ᾿ ἐβόηϲαν. — 608 τρῷεϲ L. ὃδ᾿ CDGHL. — 609 ἐφεϲταῶτοϲ D. ἀπο H. μὲν ῥὰ ποτὶ τυτθὸν L. — 610 δ ACDGHL. θ̈᾿ ὀπάονα D. — 611 εὐκτιμένηϲ DGH Vrat A. ἔπλετ᾿ αὐτῶ Lips. — 612 νῆαϲ C. — 613 καί κεν DL. τρῳϲὶ L. — 615 ἤλυθεν D. ἦμαρ D. — 617 βάλε G. ὑπο H. ἂρ ADEGHL. ὀδόντων Harl. — 618 δϊα H. διὰ δὲ — ὀχέων (619) omitt. D. — 619 κατα CDL. — 620 ἔλαβε DEH Lips. φίληϲι ACDGH. — 622 ἐπι A. — 623 omitt. Vrat. d. γιγνώϲκειϲ L: γινώϲκειϲ ACDEGH. ὅτι Lips. κράτοϲ Lips. — 624 ὡϲ A. ἵμαϲε D. καλῖτρϊχαϲ H.

A. c. 603 διὰ τοῦ ε̄ αἱ ἀριϲτάρχου ἔλπετο Didymus. — 607 οὕτωϲ ἀρίϲταρχοϲ τοίδ᾿ ἐβόηϲαν Didymus. — 623 ὅ τ᾿: vulgo ὅτ᾿ conf. H. S. 265.

νῆαϲ ἔπι γλαφυράϲ· δὴ γὰρ δέοϲ ἔμπεϲε θυμῷ.
οὐδ᾽ ἔλαθ᾽ Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεύϲ, ὅτε δὴ Τρώεϲϲι δίδου ἑτεραλκέα νίκην.
τοῖϲι δὲ μύθων ἦρχε μέγαϲ Τελαμώνιοϲ Αἴαϲ·
ὢ πόποι, ἤδη μέν κε, καὶ ὃϲ μάλα νήπιόϲ ἐϲτι,
γνοίη ὅτι Τρώεϲϲι πατὴρ Ζεὺϲ αὐτὸϲ ἀρήγει.
τῶν μὲν γὰρ πάντων βέλε᾽ ἅπτεται, ὅϲ τιϲ ἀφήῃ,
ἢ κακὸϲ ἢ ἀγαθόϲ· Ζεὺϲ δ᾽ ἔμπηϲ πάντ᾽ ἰθύνει·
ἡμῖν δ᾽ αὔτωϲ πᾶϲιν ἐτώϲια πίπτει ἔραζε.
ἀλλ᾽ ἄγετ᾽ αὐτοί περ φραζώμεθα μῆτιν ἀρίϲτην,
ἠμὲν ὅπωϲ τὸν νεκρὸν ἐρύϲϲομεν, ἠδὲ καὶ αὐτοὶ
χάρμα φίλοιϲ ἑτάροιϲι γενώμεθα νοϲτήϲαντεϲ,
οἵ που δεῦρ᾽ ὁρόωντεϲ ἀκηχέδατ᾽ οὐδ᾽ ἔτι φαϲὶν
Ἕκτοροϲ ἀνδροφόνοιο μένοϲ καὶ χεῖραϲ ἀάπτουϲ
ϲχήϲεϲθ᾽, ἀλλ᾽ ἐν νηυϲὶ μελαίνῃϲιν πεϲέεϲθαι.
εἴη δ᾽ ὅϲ τιϲ ἑταῖροϲ ἀπαγγείλειε τάχιϲτα

---

V. L. 625 ἐπὶ ACDGH. — 627 τρώεϲϲ᾽ ἐδίδου C. τρῴεϲϲι L. ἑτεραλκέα A. — 629 ὣ πόποι AGH. ἤδη: ἢ δὴ H Vrat. d. non male, conf. B 337. μέν κε ACDGHL Lips. Mor. Vat. Townl. Vrat. d. Frgm. Mosc. μέν γε S Flor. μὲν ἂν Eust. μάλα: μέγα Mor. Vat. ἐϲτι ACDEGH. νήπιοϲ ἐϲτὶν L. — 630 τριῴεϲϲι L. αὐτὸϲ ἀρήγει ACDEHS Cant. Mor. Barocc. Harl. Vat. Vrat. b. d. A. Frgm. Mosc. ἐν ἄλλῳ ἀμύνοι A. Ζεὺϲ κῦδοϲ ὀπάζει GL Lips. Flor. et olim vulgo. — 631 * ἀφήῃ: ἀφείη D Flor. ἀφίει EHL Cant. Lips. Vrat. d. Rom. ἀφίη S. ἀφήει Barocc. Mor. ἐφείη CG Frgm. Mosc. Vrat. b. ἐφίει Vrat. A. ἐφίηι (ε supra ι) A et in marg. διχῶϲ καὶ ἀφείη. — 632 πάντα C. ἰθύει L Lips. — 633 αὔτωϲ GH. αὐτωϲ A. ἔρραζε H. — 634 αὐτοί τε Vrat. A. φραζόμεθα D. — 635 ἐρύϲομεν (ϲ supra ϲ) C. — 636 γενοίμεθα G Flor. — 637 οἵ που νῦν DH Townl. Vrat. b. d. ἤ που Harl. οὐδέ τι φαϲὶν ACDGS Cant. Mor. Vrat. b. οὐδέ τε L Lips — 639 μελαίνῃϲι E Lips. Vrat. A. — 640 εἴη: ἴοι L. ὅϲ τιϲ: ὥϲ τιϲ Cant. Vat.

---

A. c. 631 scripsi ἀφήῃ, quam coniunctivi formam legitimam indocti librarii corruperunt in eas scripturas, quas libri exhibent. quas ut spernerem ductus sum similibus librorum scripturis Β 34. Γ 436. Ζ 432. Η 72. Π 96. Τ 27. 375. Υ 64. Χ 73. 246. Ω 417. ε 378. 471. ε 394. κ 301. 341. ο 51. ψ 233, de quibus egi H. T. 405. H. U. 153. Optativum h. l. a consuetudine poëtae alienum puto, et qui loci ad eum confirmandum afferuntur, partim diversi sunt, ut Χ 348. Ψ 294. ζ 286. Aesch. Prom. 292. Arist. Th. 872. partim corrigendi, ut τ 511 ἕλῃ (ita ACKMPQS). Theogn. 689 ἥῃ. de coniunctivo cum ὅϲ τιϲ iuncto conf. Α 230. 543. 554. Ν 234. Ο 491. 492. Τ 265. Υ 363. Φ 103. 347. Χ 73. α 352. 416. γ 320. ε 448. θ 148. 210. κ 39. λ 428. μ 41. 66. ν 214. ξ 106. ο 401. ϲ 336. υ 335. ω 286. — 637 δεῦρ᾽: οὕτωϲ ἀρίϲταρχοϲ· ἄλλοι δὲ οἵ που νῦν Didymus.

Πηλείδῃ, ἐπεὶ οὔ μιν ὀίομαι οὐδὲ πεπύσθαι
λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ᾽ ἑταῖρος.
ἀλλ᾽ οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ᾽ ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ᾽ αἴθρην, δὸς δ᾽ ὀφθαλμοῖσιν ἰδέσθαι·
ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως.
ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα·
αὐτίκα δ᾽ ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
ἠέλιος δ᾽ ἐπέλαμψε, μάχη δ᾽ ἐπὶ πᾶσα φαάνθη·
καὶ τότ᾽ ἄρ᾽ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
σκέπτεο νῦν Μενέλαε διοτρεφές, αἴ κεν ἴδηαι
ζωὸν ἔτ᾽ Ἀντίλοχον, μεγαθύμου Νέστορος υἱόν,
ὄτρυνον δ᾽ Ἀχιλῆι δαΐφρονι θᾶσσον ἰόντα
εἰπεῖν, ὅττί ῥά οἱ πολὺ φίλτατος ὤλεθ᾽ ἑταῖρος.
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
βῆ δ᾽ ἰέναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
ὅς τ᾽ ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ᾽ ἄνδράς τ᾽ ἐρεθίζων,
οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι
πάννυχοι ἐγρήσσοντες· ὃ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ᾽ οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίον ἀίσσουσι θρασειάων ἀπὸ χειρῶν,

---

V. L. 641 οὐδὲ πυθέσθαι Harl. Townl. — 642 ὅτί οἱ H. οἱ omitt. G. — 643 οὔ πῃ AH. ceteri οὔπῃ. οὔπω GL Lips. Mor. Barocc. Flor. — 644 ἐν ἄλλῳ ἠέρι γὰρ κεκάλυπται A. — 645 ῥύσαι ACD. — 646 ποίησόν τ᾽ Schol. Γ 280. ἰδέσθαι: ἐν ἄλλῳ ὁρᾶσθαι A. — 647 ὄλεσον H. — 648 ὡς A. τὸν δ᾽ ὁ πατὴρ L Mor. Barocc. Vrat. A. δάκρυ χέοντα A. ceteri δακρυχέοντα. — 649 κέδασεν Lips. ὀμίχλην E 1121, 42 GH: ὁμίχλην ACDE 1121, 38 L conf. Α 359. — 650 ἐπῖ CDH. ἐπὶ πᾶσι φαάνθη Plutarchus de Primo frigido 9, 3. — 651 ἂρ CDHL. ἀρ A. — 652 σκέπτεο δὴ Mor. Vat. σκεπτέον αὖ Lips. δϊοτροφὲς H. — 653 μεγαθύμου ACDHLS Cant. Mor. Lips Vat. Vrat. b. Frgm. Mosc. μεγάθυμον G edd. vett. conf. 306. — 654 ὥτρυνον D. ἀχιλλῆϊ D. θάσσον D. — 655 ὅτι D. πολυφίλτατος D. — 656 ὡς A. ἀπέθησε G. — 657 ὥς τίς τε L. ὡς τίς τε A. ἀπο A. μεσαύλοιο CE Vrat. A. — 658 ὅτ᾽ ἐπεὶ G. ἂρ κεκάμῃσι L. ceteri ἄρ κε κάμῃσι, A κε, κάμῃσι. κύνας ἄνδρας τ᾽ H. — 659 οἵ τέ EGHL. πίαρ D. πεῖαρ H. — 659, 660 omitt. C in textu Mor. Barocc. — 660 παννύχιοι EG Rom. ἐκρήσσοντες G. — 661 ἰθύνει ἢ μάλιστα ἰθύει E. — 662 ἀντίον DS Mor. Cant. Vat. Vrat. b. ἀντίοι ἢ ἀντίον E. ceteri ἀντίοι, conf. Λ 553. ἀπο H.

---

A. c. 658 κε κάμῃσι: alii κεκάμῃσι ὑφ᾽ ἕν teste Aristonico, conf. Schol. Α 168. Η 5. — 662 Aristarchus ἀντίον, conf. Λ 553.

καιόμεναί τε δεταί, τάc τε τρεῖ ἐccύμενόc περ·
ἠῶθεν δ' ἀπὸ νόcφιν ἔβη τετιηότι θυμῷ·
ὣc ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸc Μενέλαοc
ἤιε πόλλ' ἀέκων· περὶ γὰρ δίε, μή μιν Ἀχαιοὶ
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηίοιcι λίποιεν.
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεcc' ἐπέτελλεν·
Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
νῦν τιc ἐνηείηc Πατροκλῆοc δειλοῖο
μνηcάcθω· πᾶcιν γὰρ ἐπίcτατο μείλιχοc εἶναι
ζωὸc ἐών· νῦν αὖ θάνατοc καὶ μοῖρα κιχάνει.
ὣc ἄρα φωνήcαc ἀπέβη ξανθὸc Μενέλαοc,
πάντοcε παπταίνων ὥc τ' αἰετόc, ὅν ῥά τέ φαcιν
ὀξύτατον δέρκεcθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδαc ταχὺc οὐκ ἔλαθε πτὼξ
θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενοc, ἀλλά τ' ἐπ' αὐτῷ
ἔccυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣc τότε cοὶ Μενέλαε διοτρεφὲc ὄccε φαεινὼ
πάντοcε δινείcθην πολέων κατὰ ἔθνοc ἑταίρων,
εἴ που Νέcτοροc υἱὸν ἔτι ζώοντα ἴδοιτο·
τὸν δὲ μάλ' αἶψ' ἐνόηcε μάχηc ἐπ' ἀριcτερὰ πάcηc
θαρcύνονθ' ἑτάρουc καὶ ἐποτρύνοντα μάχεcθαι.
ἀγχοῦ δ' ἱcτάμενοc προcέφη ξανθὸc Μενέλαοc·

---

V. L. 664 ἀπὸ νόcφιν D: ceteri ἀπονόcφιν, conf. H. U. 88. τετιηότι θυμῷ: ἐν ἄλλῳ τετιημένοc ἦτορ A. — 665 ἀπο A. — 666 ἀέκων A.
οι
πέρι GL. περι D. — 667 προ ACL. λίπειεν L. λίποιε C. — 668 ἐπέτελλε D. αἰάντεccι κέλευε G Flor. Rom. — 670 πατρόκλοιο S. — 671 πᾶcι DE Lips. Apoll. Soph. 163, 28. — 672 νῦν αὖ ADEHL Barocc. Lips. Townl. Frgm. Mosc. Vrat. b. A. νῦν δ' αὖ G edd. vett. νῦν γὰρ C. μοῖρα κάλυψεν H. — 673 ώc A. — 674 ὃν A. ῥά τε φαcὶν ACDGHL. — 675 ὑπὸυρανίων A. πετεεινῶν DL Harl. — 679 ώc A. τότε cὺ L Lips. cοι D. διοτρεφὲc omitt. C 1. man. δϊοτροφὲc H. — 680 δινήcθην
ει
L. δινήcθην L. δινήcθην H. — 681 ἴδοιτο ACD Barocc. Townl. Frgm. Mosc. ἴδοιο EGHS Flor. Rom. ἴδοιε L Lips. — 682 τόνδε H. αἶψα νόηcε Lips. — 683 ἑταίρουc H Lips. Flor. post hunc insertus est in H et Vrat. d. θεcπέcϊον γάρ cφϊν φόβον ἔμβαλε φοῖβοc ἀπόλλων, qui legitur P 118. — 684 ἔπεα πτερόεντα προcηῦδα Vat.

---

A. c. 681 οὕτωc ἀρίcταρχοc ἴδοιτο, τὰ ὄccε δηλονότι Didymus. οἳ μὲν μετὰ τοῦ ν̄, οἳ δὲ χωρὶc τοῦ ν̄, οἱ δὲ ἀπὸ τῆc cχολῆc ἴδοιο γράφουcιν Schol. BL.

'Αντίλοχ', εἰ δ' ἄγε δεῦρο διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μὲν cὲ καὶ αὐτὸν ὀίομαι εἰcορόωντα
γιγνώcκειν ὅτι πῆμα θεὸc Δαναοῖcι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὤριcτοc 'Αχαιῶν,
Πάτροκλοc, μεγάλη δὲ ποθὴ Δαναοῖcι τέτυκται.
ἀλλὰ cύ γ' αἶψ' 'Αχιλῆι, θέων ἐπὶ νῆαc 'Αχαιῶν,
εἰπεῖν, αἴ κε τάχιcτα νέκυν ἐπὶ νῆα cαώcῃ
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολοc Ἕκτωρ.
ὣc ἔφατ', 'Αντίλοχοc δὲ κατέcτυγε μῦθον ἀκούcαc.
δὴν δέ μιν ἀμφαcίη ἐπέων λάβε, τὼ δέ οἱ ὄccε
δακρυόφι πλῆcθεν, θαλερὴ δέ οἱ ἔcχετο φωνή.
ἀλλ' οὐδ' ὣc Μενελάου ἐφημοcύνηc ἀμέληcε,
βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ,
Λαοδόκῳ, ὅc οἱ cχεδὸν ἔcτρεφε μώνυχαc ἵππουc.
τὸν μὲν δάκρυ χέοντα πόδεc φέρον ἐκ πολέμοιο,
Πηλείδῃ 'Αχιλῆι κακὸν ἔποc ἀγγελέοντα.
οὐδ' ἄρα coὶ Μενέλαε διοτρεφὲc ἤθελε θυμὸc
τειρομένοιc ἑτάροιcιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
'Αντίλοχοc, μεγάλη δὲ ποθὴ Πυλίοιcιν ἐτύχθη·
ἀλλ' ὅ γε τοῖcιν μὲν Θραcυμήδεα δῖον ἀνῆκεν,
αὐτὸc δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωι βεβήκει,

---

V. L. 685 εἴδ' C. αἲ δ' A. αἴδ' D. ἂρ δ' ἄγε L Lips. διοτροφὲc GH Rom. πίθηαι Eust. 1122, 66. — 686 ἢ εἰ μὴ H. ἢ μὴ Lips. — 687 μέν cε καὶ C, conf. Ζ 338. Θ 293. ζ 35. saepius pronomen personale accedente καὶ αὐτόc accentum suum servat, conf. Τ 178. Ψ 80. ζ 39. 60. ρ 583. — 688 γιγνώcκειν L: γινώcκειν ACDEGH. — 689 τρῴων L. ὥριcτοc A. ἄριcτοc G Lips. Zon. Lex. 1574. δώριcτοc Vrat. d. ἄριcτοc et γρ. καὶ ὥριcτοc E, conf. H. U. 283. — 691 ἀχιλλῆι D. — 693 γυμνὸν ἐπεὶ L. κορυθαιόλοc A Rom. — 694 ώc A. — 695 ἀφαcίη CDS Townl. conf. δ 704. — 696 δακρυόφιν CDEGHL. πλῆcθε C. — 697 ώc A. ceteri ὣc. ἀμέληcε ACDGH. — 698 τάχα δὲ τεύχε' Lips. — 700 τὸν δὲ D. δακρυχέοντα omnes, etiam A. — 701 ἀχιλλῆϊ D. — 702 coι D. δϊοτροφὲc
ὸc
H. θυμῷ S. — 703 ἀμύνειν E 1122, 47. ἀπῆλθε H. — 704
υ
ποιλΐοιcϊν H. ἐτύχθηι A. — 705 τοῖcι DG edd. vett. δῖον ἧκεν Lips. ἀνῆκεν A. ἐνῆκεν Vrat. A. — 706 αὖτ' omitt. L Lips. πάτροκλον ἥρωα Harl.

---

A. c. 688 κυλίνδει Aristarchus teste Herodiano et Eust. 1123, 4. vid. H. T. 299. — 689 ὤριcτοc Aristarchus, ni fallor, conf. Didym. ad Ι 539 ἀρίcταρχοc ἀργείων ὤριcτοι καὶ ἄνευ τοῦ ῑ. — 696 ad δ 705, ubi idem versus legitur, adnotavit Didymus αἱ 'Αριcτάρχου ἔcκετο ἀντὶ τοῦ ἐγένετο· γέλοιοι γάρ εἰcιν οἱ γράφοντεc ἔcχετο.

στῆ δὲ παρ᾽ Αἰάντεccι θέων, εἶθαρ δὲ προcηύδα·
κεῖνον μὲν δὴ νηυcὶν ἐπιπροέηκα θοῇcιν,
ἐλθεῖν εἰc Ἀχιλῆα πόδαc ταχύν· οὐδέ μιν οἴω
νῦν ἰέναι μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
οὐ γάρ πωc ἂν γυμνὸc ἐὼν Τρώεccι μάχοιτο·
ἡμεῖc δ᾽ αὐτοί περ φραζώμεθα μῆτιν ἀρίcτην,
ἠμὲν ὅπωc τὸν νεκρὸν ἐρύccομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆc θάνατον καὶ κῆρα φύγωμεν.
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγαc Τελαμώνιοc Αἴαc·
πάντα κατ᾽ αἶcαν ἔειπεc ἀγακλεὲc ὦ Μενέλαε·
ἀλλὰ cὺ μὲν καὶ Μηριόνηc ὑποδύντε μάλ᾽ ὦκα
νεκρὸν ἀείραντεc φέρετ᾽ ἐκ πόνου· αὐτὰρ ὄπιcθε
νῶι μαχηcόμεθα Τρωcίν τε καὶ Ἕκτορι δίῳ,
ἶcον θυμὸν ἔχοντεc, ὁμώνυμοι, οἳ τὸ πάροc περ
μίμνομεν ὀξὺν ἄρηα παρ᾽ ἀλλήλοιcι μένοντεc.
ὣc ἔφαθ᾽, οἳ δ᾽ ἄρα νεκρὸν ἀπὸ χθονὸc ἀγκάζοντο
ὕψι μάλα μεγάλωc· ἐπὶ δ᾽ ἴαχε λαὸc ὄπιcθε
Τρωικόc, ὡc εἴδοντο νέκυν αἴροντας Ἀχαιούc.
ἴθυcαν δὲ κύνεccιν ἐοικότεc, οἵ τ᾽ ἐπὶ κάπρῳ
βλημένῳ ἀΐξωcι πρὸ κούρων θηρητήρων·
ἕωc μὲν γάρ τε θέουcι διαρραῖcαι μεμαῶτεc,
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐν τοῖcιν ἑλίξεται ἀλκὶ πεποιθώc,
ἄψ τ᾽ ἀνεχώρηcαν διά τ᾽ ἔτρεcαν ἄλλυδιc ἄλλοc.

V. l. 707 cτῆ δ᾽ ἄρ᾽ ἐπ᾽ G Flor. δὲ μετ᾽ Vrat. A. θέων ACDGHL Cant. Mor. Harl. Lips. Vat. Frgm. Mosc. Vrat. b. d. Rom. κιὼν Vrat. A. Barocc. Flor. — 708 ἐπὶ προέηκα G. — 709 ἀχϊλλῆα D. ὀΐω ACDL Flor. Rom. — 710 κεχολωμένον ἕκτορι δίῳ: κεχολώμενοc ἀτρείωνι A in marg. — 711 τρῴεccι L. — 713 ἐρύcομεν G Lips. Flor. — 714 τρῴων L. φύγωμεν AEGL Lips. φύγοιμεν CDHS utrumque recte. conf. H. U. 236. — 718 ὄπιcθε AC et Heynii libri omnes (?) ὄπιcθεν DHL Lips. Vrat. A. ὀπίccω G. — 719 τρωcί DE. τρῳcίν L. — 720 τοπάροc HL. — 721 μένοντεc omnes. — 722 ὡc A. οἵδ᾽ CL. ἄπο A. — 723 ἐπϊ CD. ὄπιcθε ACD Schol. P 607: ὄπιcθεν GHL Lips. Et. Mg. 38, 17. — 724 εἰδοντὸν D ex corr. (1. man. εἴδοντο). εἶδον τὸν Et. Mg. 38, 17. εἶδον Flor. ἴδον G. αἴραντας A Harl. Vrat. d. ᾄραντας Et. Mg. 38. 17. ἄραντες Eust. 1124, 34 et 36. — 725 οἵτ᾽: οἳ E. — 726 ἀΐξουcι L Lips. προ GL. — 727 εἵωc HS, bene si μὲν omittitur. διαρράcαι H. δ᾽ ἀρραῖcαι L. — 728 ῥ᾽ omitt. E. ὅτε δούρ᾽ ἐν G. ἐλίξεται ACD. ἀΐξεται S Cant. ἀλκῇ G. ἀλκὴ Lips. — 729 abhinc usque ad finem codex A recentiore manu est scriptus. ἄψ τ᾽: ἂψ ACS Cant. ἂψ δ᾽ H non male. αἶψά τ᾽ L Lips. δῖα δ᾽ H. ἄλλοc: ἄλλοι G.

A. c. 721 ἀριcτοφάνηc δυϊκῶc μένοντε Didymus. — 724 ᾄραντας Choeroboscus apud Et. Mg. 38, 17 diserte, conf. H. U. 201. — 727 ἕωc Nicanor.

ὣϲ Τρῶεϲ εἵωϲ μὲν ὁμιλαδὸν αἰὲν ἕποντο
νύϲϲοντεϲ ξίφεϲίν τε καὶ ἔγχεϲιν ἀμφιγύοιϲιν·
ἀλλ᾽ ὅτε δή ῥ᾽ Αἴαντε μεταϲτρεφθέντε κατ᾽ αὐτοὺϲ
ϲταίηϲαν, τῶν δὲ τράπετο χρώϲ, οὐδέ τιϲ ἔτλη
πρόϲϲω ἀίξαϲ περὶ νεκροῦ δηριάαϲθαι.
ὣϲ οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
νῆαϲ ἔπι γλαφυράϲ· ἐπὶ δὲ πτόλεμοϲ τέτατό ϲφιν
ἄγριοϲ ἠύτε πῦρ, τό τ᾽ ἐπεϲϲύμενον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνηϲ φλεγέθει, μινύθουϲι δὲ οἶκοι
ἐν ϲέλαϊ μεγάλῳ· τὸ δ᾽ ἐπιβρέμει ἲϲ ἀνέμοιο.
ὣϲ μὲν τοῖϲ ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴϲ ὀρυμαγδὸϲ ἐπήιεν ἐρχομένοιϲιν·
οἳ δ᾽, ὥϲ θ᾽ ἡμίονοι κρατερὸν μένοϲ ἀμφιβαλόντεϲ
ἕλκωϲ᾽ ἐξ ὄρεοϲ κατὰ παιπαλόεϲϲαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήιον· ἐν δέ τε θυμὸϲ
τείρεθ᾽ ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ ϲπευδόντεϲϲιν·
ὣϲ οἵ γ᾽ ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπιϲθεν
Αἴαντ᾽ ἰϲχανέτην, ὥϲ τε πρὼν ἰϲχάνει ὕδωρ
ὑλήειϲ, πεδίοιο διαπρύϲιον τετυχηκώϲ,
ὅϲ τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴϲχει, ἄφαρ δέ τε πᾶϲι ῥόον πεδίον δὲ τίθηϲι
πλάζων· οὐδέ τέ μιν ϲθένεϊ ῥηγνῦϲι ῥέοντεϲ·

---

V. l. 730 τρῷεϲ L. τρῶεϲ χ᾽ Vat. τέωϲ E 1124, 43. — 731 ξίφεϲί D. ἀμφιγύηιϲιν D. ἀμφὶ γύοιϲιν A. — 733 δ᾽ ἐτράπετο GL Flor. δὲ τρέπετο EH Rom. ceteri δὲ τράπετο, conf. φ 412. — 734 δηριάαϲθαι: δηρίϲαϲθαι CDE Mor. Barocc. Vrat. Harl. Townl. Frgm. Mosc. Vrat. b. d. A. δουρίϲαϲθαι G. — 735 οἵ γε μεμαῶτε AGS Cant. Flor. τώγε μεμαῶτε Vat. οἵ γ᾽ ἐμμεμαῶτε DHL Lips. Rom. ἐμμεμαῶτεϲ C. — 736 ἐπὶ ACD GHL. ϲφι L Lips. — 738 ὅρμενον C. ὅρμαινον D. — 740 τὲ H. ἀνδρῶν ἀϲπιϲτάων Townl. — 741 ὀρυγμαδὸϲ CGH — 742 οἳ δ᾽ A. οἵδ᾽ DGHL. ὡϲ Schol. Ψ 111. ἡμίονεϲ A. ἡμίονι G. οἱμίονοι L. — 743 ἕλκουϲιν E. κατα H. — 744 μέγα δόρυ C Vrat. b. — 745 ϲπουδόντεϲϲι H. — 746 οἵ γ᾽ ἐμμεμαῶτε HL Lips Rom. οἵγεμμεμαῶτε C. οἵγ᾽ ἐμμεμαῶτεϲ D. τώ γ᾽ ἐμμεμαῶτε Vat. οἵγε μεμαῶτε AGS Cant. Flor. — 747 ὥϲ τε: ὥϲ περ L. — 748 τετυχηκὸϲ Lips. τετυχηὼϲ Heraclides apud Osann. Quaest. Hom. IV, pg. 21. — 750 παϲίροον A. πᾶϲϊρρόον H. τίθηϲι AC DEGL. — 751 οὐδέ τι μιν AG. οὐδέ τί E οὐδέ τε CDHL Barocc. Mor. Townl. Lips. Vrat. b. „alii οὐδ᾽ ἔτι“ Heyne. ῥήγνυϲι D.

---

A. c. 735 οἵ γ᾽ ἐμμεμαῶτε Aristarchus, conf. H. T. 251. — 746 ἐμμεμαῶτε: οὕτω διὰ τῶν δύο μ̄. τινὲϲ δὲ οἱ μὲν ἄρ᾽ ἐμμεμαῶτε Schol. V, conf. ad 735. — 751 ᾿Αριϲτοφάνηϲ οὐδέ τί μιν Schol. V.

ὣϲ αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίϲϲω
Τρώων· οἳ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖϲι μάλιϲτα,
Αἰνείαϲ τ' Ἀγχιϲιάδηϲ καὶ φαίδιμοϲ Ἕκτωρ.
τῶν δ', ὥϲ τε ψαρῶν νέφοϲ ἔρχεται ἠὲ κολοιῶν,
οὖλον κεκλήγοντεϲ, ὅτε προΐδωϲιν ἰόντα
κίρκον, ὅ τε ϲμικρῇϲι φόνον φέρει ὀρνίθεϲϲιν,
ὣϲ ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκλήγοντεϲ ἴϲαν, λήθοντο δὲ χάρμηϲ.
πολλὰ δὲ τεύχεα καλὰ πέϲον περί τ' ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίγνετ' ἐρωή.

---

# ΙΛΙΑΔΟϹ Ϲ.

Ὣϲ οἳ μὲν μάρναντο δέμαϲ πυρὸϲ αἰθομένοιο,
Ἀντίλοχοϲ δ' Ἀχιλῆι πόδαϲ ταχὺϲ ἄγγελοϲ ἦλθε.
τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων
τὰ φρονέοντ' ἀνὰ θυμόν, ἃ δὴ τετελεϲμένα ἦεν·
ὀχθήϲαϲ δ' ἄρα εἶπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγώ, τί τ' ἄρ' αὖτε κάρη κομόωντεϲ Ἀχαιοὶ
νηυϲὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέϲωϲι θεοὶ κακὰ κήδεα θυμῷ,

---

V. L. 752 μάχην ἀνέεργον αἴαντε ὀπίϲϲω C. ἐνέργον ὀπίϲω E. — 753 τρῴων L. οἵδ' ACDGHL. — 755 ψαρῶν γένοϲ H Vrat. d. — 756 κεκλήγοντεϲ libri mei: κεκληγότεϲ Lips. Vrat. A. apud Heynium discrepantiam lectionis video nullam. — 757 ὅϲ τε DG. ὅϲ τιϲ L Lips. ϲμικροῖϲι Barocc. Cant. Mor. μικρῇϲι Townl. — 758 ἆρ ADEGH. ὑπ': ἐπ' H Vrat. d. αἰνείαν τε καὶ ἕκτορα Townl. — 759 κεκλήγοντεϲ ut supra: κεκληγότεϲ Lips. Vrat. A. ἦϲαν C. δὲ omitt. L. — 760 τε omitt. L. τάφρωι D Vat. — 761 γίγνετ' EL Rom.: γίνετ' ACDGH.

---

A. c. 757, 759 κεκλήγοντεϲ et κεκληγῶτεϲ Aristarchus διχῶϲ? conf. ad M 125. Π 430. H. T. 296.

---

V. L. 1 μάρναντο πυρὸϲ μένοϲ H Vrat. d. — 2 ἀχιλλῆϊ D. ἦλθε ACDEG. — 4 εἶεν C 1. man. — 5 εἶπεν D. — 6 ὤιμοι AC. ᾤμοι E 1127, 54. 1128, 4; 6; 31. τί ταρ A. τί τὰρ H. τί γὰρ Barocc. τί τ' ἆρ CDGL. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 7 ἐπικλονέονται CDEGHL. ἐπικλονέουϲι Cant. — 8 τελέῃϲι θεὸϲ E. κακὰ μήδεα HL Lips. Vrat. d. θυμοῦ Lips.

---

A. c. 7 νηυϲὶν ἔπι Herodianus.